# ΑΚΟΛΟΥΘΙΑΙ

## ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ

## ΝΕΟΦΥΤΟΥ

### ΤΟΥ ΕΓΚΛΕΙΣΤΟΥ

*Ψαλλόμεναι κατὰ τὴν ΚΔ' Ἰανουαρίου καὶ ΚΗ' Σεπτεμβρίου, ἐξ ὧν ἡ μὲν πρώτη εἶναι ἡ τῆς μνήμης αὐτοῦ, ἡ δὲ δευτέρα ἡ τῆς ἀνακομιδῆς τῆς εὑρέσεως τοῦ λειψάνου του.*

ΕΚΔΙΔΟΝΤΑΙ ΔΑΠΑΝΗ
ΤΗΣ ΑΥΤΟΥ ΠΑΝΟΣΙΟΛΟΓΙΟΤΗΤΟΣ
ΤΟΥ
ΗΓΟΥΜΕΝΟΥ ΤΗΣ ΜΟΝΗΣ ΑΓΙΟΥ ΝΕΟΦΥΤΟΥ
Κ)ΟΥ **ΙΑΚΩΒΟΥ**

**ΕΚ ΤΟΥ ΕΝ ΛΑΡΝΑΚΙ ΤΥΠΟΓΡΑΦΕΙΟΥ**

**"ΑΘΗΝΑΣ,,** *Σάββα Χατζηαντωνίου*

**1912**

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

## ΜΗΝΙ ΙΑΝΟΥΑΡΙΩ:, ΚΔ΄.
ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΝΕΟΦΥΤΟΥ

## ΤΟΥ ΕΓΚΛΕΙΣΤΟΥ

**Ἐν τῷ μεγάλῳ Ἑσπερινῷ μετὰ τὴν συνήθη στιχολ. τοῦ Μακάριος ἀνήρ, ἱστῶμεν στίχους, στ΄, προσόμοια. Ἦχος πλ. δ΄.**

***Ὢ τοῦ παραδόξου θαύματος.***

Ὅσιε Πάτερ Νεόφυτε, τὸν τοῦ Κυρίου Σταυρὸν ἐπὶ ὤμων ἀράμενος λογισμῷ θεόφρονι ἑαυτῷ ἠκολούθησας, νηστείαις, μάκαρ, καὶ ταῖς δεήσεσι, καθυποτάξας σαρκὸς τὰ λήμνια, χαίρων κατῴκησας ἐν ἐγκλείστρᾳ πάνσοφε, καὶ μοναστῶν γέγονας διδάσκαλος, πᾶσι σωτήριος.

Πάτερ Θεόφρων Νεόφυτε, ὥσπερ ἀστὴρ φαεινὸς, ἐκ Λευκάρων ἀνέτειλας, καὶ ψυχὰς ἐφώτισας, τῶν Κυπρίων Πανόλβιε. Ἐν τῇ ἐγκλείστρᾳ οἰκήσας ὅσιε, καὶ τοῦ σοῦ βίου τὰ κατορθώματα, οὗ ἐμιμήσαντο πολλοὶ, θείᾳ χάριτι, ἀλλὰ καὶ νῦν, σῶζε τοὺς προστρέχοντας ἐν τῇ σῇ λαύρᾳ πιστούς.

Ὢ τοῦ παραδόξου θαύματος, ὁ ἀσκητὴς τοῦ Χριστοῦ, ὁ στερρός τε Νεόφυτος, ἐν τῷ σπηλαίῳ ᾤκησεν, ἐπὶ ἔτη τριάκοντα, μηδ' ὅλως ὄντως ἄρτου γευσάμενος, καὶ καταβάλλει ἐχθρὸν τὸν ἄσαρκον. Ὢ καρτερίας τε, δι' ἧς ῥήσεις ἤκουσεν Ἀγγελικὰς, ἀφ' ὧν προσκαλούμενος πρὸς τὰς ἀλήκτους μονάς.

Κόσμου τὰ τερπνὰ κατέλιπες, καὶ ἐν ἐρήμοις φοιτῶν, μοναζόντων ἐζήλωσας τὴν ζωὴν, ἀοίδιμε, ἀπαθείᾳ κοσμούμενος. Μετὰ Ἀγγέλων σύσσωμος Ἄγγελος, ὁμοιωθεὶς δὲ τούτων μυήσεσιν, νοῦν καθηράμενος ᾄδεις ἀκατάπαυστα χαίρων Χριστῷ, οὗ ἐκ βρέφους ἔσπευδες ἐν οὐρανοῖς ἐντυχεῖν.

**Δόξα. Ἦχος, πλ. δ΄. Κυπριανοῦ.**

Ὅσιε Πάτερ, τῷ διὰ Σταυροῦ παθόντι ὑπὲρ ἡμῶν ἀκολουθῶν, τῆς κοσμικῆς συγχύσεως φυγαδεύων ἐμάκρυνας. Καὶ ἐν σπηλαίῳ καθείρξας σαυτὸν ἐσταύρωσας, ἐγκρατείᾳ καὶ σκληραγωγίᾳ, τὰ πάθη ἐκνευρούμενος, ὅθεν ζῶν ὡς ἄσαρκος Ἀγγέλου ἠξιώθης ἀκοῦσαι φωνῆς, ἐπὶ τὰ ἐνδότερα πολεύειν ἐγκελευομένης σε. Καὶ οἶκον σκηνώματος δόξης Κυρίου ἐνυδρίσαντα, μάνδρας λογικῆς γενέσθαί σε ποιμένα σωτήριον. Ἀλλ' ὦ Πατέρων ὁμόσκηνε τὴν σὴν μονὴν ἐξ ἐχθρῶν ὁρατῶν τε καὶ ἀοράτων διάσωζε, καὶ πάντας τοὺς ἐν αὐτῇ τὴν σὴν ἐπικαλουμένους ἀντίληψιν, τὰς αἰτήσεις ἐπιχορηγῶν, καὶ ταῖς ψυχαῖς ἡμῶν συγχώρησιν ταῖς πρὸς Κύριον πρεσβείαις σου.

**Καὶ νῦν καὶ ἀεὶ**

Ὁ Βασιλεὺς τῶν οὐρανῶν διὰ φιλανθρωπίαν, ἐπὶ τῆς γῆς ὤφθη, καὶ τοῖς

ἀνθρώποις συναναστράφη ἐκ Παρθένου γὰρ Ἁγνῆς, σάρκα προσλαβόμενος, καὶ ἐκ ταύτης προελθὼν μετὰ τῆς προσλήψεως· εἷς ἐστιν Υἱὸς διπλοῦς τὴν φύσιν, ἀλλ' οὐ τὴν ὑπόστασιν. Διὸ τέλειον αὐτὸν Θεὸν, καὶ τέλειον ἄνθρωπον, ἀληθῶς κηρύττοντες, ὁμολογοῦμεν Χριστὸν τὸν Θεὸν ἡμῶν, ὃν ἱκέτευε Μῆτερ ἀνύμφευτε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

**Εἴσοδος. Τὸ Φῶς Ἱλαρόν. Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα. Σοφία Σολομῶντος, τὸ Ἀνάγνωσμα.**

Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται, Γῆρας. γὰρ τίμιον, οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δὲ ἐστι φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως, βίος ἀκηλίδωτος, εὐάρεστος Θεῷ γενόμενος ἠγαπήθη, καὶ ζῶν μεταξὺ ἁρματωλῶν μετετέθη. Ἡρπάγη μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ. Βασκανία γὰρ φαυλότητος, ἀμαυροῖ τὰ καλὰ, καὶ ρεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ ἐπλήρωσε χρόνους μακρούς· Ἀρεστὴ γὰρ οὖν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μὴ δὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

**Σοφίας Σολομῶντος, τὸ Ἀνάγνωσμα.**

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ Βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτοὺς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα δικαιοσύνην καὶ περιθήσεται κόρυθα κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα, ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ρομφαίαν συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν ἐπὶ σκοπὸν ἁλοῦνται. *Καὶ* ἐκ πετροβόλου θυμοῦ, πλήρεις ριφθήσονται χάλαζαι. Ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς. Καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν βασιλεῖς καὶ σύνετε, μάθετε δικασταὶ περάτων γῆς ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν. Ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

**Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.**

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δὲ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς, καὶ ὡς ὁ-



λοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτῷ, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεως ἐν τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

**Εἰς τὴν λιτὴν, στιχηρὰ ἰδιόμελα, ἦχος β'.**

Ἀρνησάμενος κόσμον καὶ τὰ ἐν κόσμῳ ὅσιε καὶ τὸν Σταυρόν σου ἄρας Εὐαγγελικῶς ἠκολούθησας, ἐν τῷ κρημνῷ διαιτώμενος, ὡς ἐν Παραδείσῳ μυστικῶς· τῇ ἄκρᾳ σκληραγωγίᾳ τῆς σαρκὸς, τὸν βροτοκτόνον δράκοντα ἀπέπνιξας· διὸ ἐν Οὐρανοῖς αὐλιζόμενος, Νεόφυτε Μακάριε, αἴτησαι ἡμῖν τὸ μέγα ἔλεος.

**Ὁ αὐτὸς**

Τῶν ἐν τῷ βίῳ πραγμάτων καταφρονήσας, Πάτερ Νεόφυτε, τὴν ἄνω πολιτείαν ἐπεπόθησας· πλοῦτον ἐβδελύξω, πτωχείαν ἐνδυσάμενος τρυφὴν ἐμίσησας, καὶ ἐπεσπάσω τὴν ἐγκράτειαν· ἀδικίαν ἀπεβάλου, καὶ ἐδίωξας δικαιοσύνην· διὸ, Πάτερ Ὅσιε, μνημόνευε καὶ ἡμῶν ἐν ταῖς εὐχαῖς πρὸς Κύριον.

**Ἦχος πλ. β'.**

Πάτερ ἀξιάγαστε, τῆς ἐγκλείστρας ὤφθης κάλλιστος πολιοῦχος· ἐν γὰρ τῷ κρημνῷ ἐφεῦρες Οὐράνιον ὕψωμα. Ἰαματικῆς χάριτος ἐξ ἀσύλων θησαυρῶν, τοῦ Πνεύματος καταξίωσαι· ὅθεν δι' ἀμφοτέρων ὁ Χριστός σε προσήκατο καὶ τεράτων αὐτουργὸν ἀνέδειξε Νεόφυτε, ἀλλὰ τοῦτον ἀεὶ ἱκέτευε τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

**Δόξα. Ἦχος πλ. δ'.**

Ἡ καθαρὰ τοῦ Πνεύματος τοῦ Ἁγίου Σοφία σκηνώσασα ἐν τῇ καθαρᾷ σου καρδίᾳ, παμμακάριστε Νεόφυτε, τὴν Θεόπνευστον Γραφὴν ἐθεολόγεις τρανῶς· τὸ Πνεῦμα τὸ Ἅγιον ἐπὶ σοὶ ἐσκήνωσε· διὸ παρρησίαν κεκτημένος, πρὸς τὸν φιλάνθρωπον Θεὸν, τῇ ἀπαύστῳ πρεσβείᾳ σου, τῶν ψυχικῶν ἡμᾶς παθῶν, καὶ σωματικῶν ἐλευθέρωσον.

**Καὶ νῦν. Δέσποινα πρόσδεξαι·**

**Εἰς τὸν στίχον στιχηρὰ προσόμοια.**

**Ἦχος, πλαγίου β'. Ὅλην ἀποθέμενοι.**

Τὴν νῆσον κατέλιπες, τὴν σὴν πατρίδα παμμάκαρ, τὴν ἐκθρεψαμένην σε, καὶ σαυτὸν ἐμάκρυνας ὁδηγούμενος, ὑπ' Ἀγγέλου θείου τε, Ἱεροσολύμων, πόλιν θείαν σπεύδων ἔφθασας, καὶ προσεκύνησας ἴχνη τοῦ Κυρίου τὰ πάνσεπτα, ἐντεῦθεν ὑπεχώρησας πρὸς τὰ τῆς ἐρήμου ἐνδότερα, καὶ Τιβεριάδος τὰ μέρη ψηλαφῶν ὡς θηρευτής, ἵνα τυχών τινα σύσκηνον, μυηθεὶς τὰ κρείττονα.

**Στίχος. Δίκαιος ὡς φοῖνιξ ἀνθήσει.**

Πολεύων εἰς ἔρημον, ἐν ᾗ βλαστὸς Ζαχαρίου, διδάσκων ἀπήγγελλε, λαοῖς τὴν μετάνοιαν καὶ ἐβάπτιζεν, οὗ τὰς τρίβους ἴχνευες, καὶ τὰ ἐν ὁρίοις, Μαγ-

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

δαλᾶ καὶ τὸ Θαβώριον, περινοστήσας δὲ, γαίαν τοῦ Σουκᾶ καὶ τὸν χείμαρρον. καὶ τοῦ Ἰορδάνου τὰ πέραν διελθὼν ἐν προσευχαῖς, καὶ τὸν Θεὸν καθικέτευες τυχεῖν τῆς ἐφέσεως.

**Στίχος. Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.**

Πάντας τοὺς τὴν ἔνδοξον, καὶ πανσεβάσμιον μνήμην, πίστει ἐκτελοῦντάς σου, πειρασμῶν καὶ θλίψεων ἀπολύτρωσαι, συμφορῶν βίου τε τῶν ἐπερχομένων, καὶ ποικίλων περιστάσεων, σὺ γὰρ μακάριε, ἐν τῷ ἐκδημεῖν σε πρὸς Κύριον, τοῦτον Θεόφρον ᾔτησας, καὶ τῆς σῆς αἰτήσεως ἔτυχες, πόθῳ γοῦν τελοῦντας, τὴν μνήμην σου Νεόφυτε σοφὲ, τῶν σωζομένων τῆς στάσεως ἡμᾶς καταξίωσιν.

**Δόξα Ἦχος, β'.**

Τῶν ἀρετῶν ἐδείχθης ὑπογραμμὸς ἐπὶ τῆς γῆς μυστικῶς· διὸ εὐφημοῦμέν σε ὡς ἀσκητῶν ἐγκαλλώπισμα· ἐξασκήσας γὰρ ἀληθῶς ὥσπερ ὁ μέγας Εὐθύμιος, ταπείνωσιν ἄμετρον ἐνδείξω, καὶ τοὺς ἐμπιστευθέντας σοι ποιμένας ὀρθῶς, εἰς μάνδραν ἁγίαν ἐνείλασας, ἔνθα ὁ χορὸς τῶν ἁγίων καθέστηκεν, ἐκτενῶς δὲ πάλιν βοῶμέν σοι, μὴ ἐπιλάθου, καὶ νῦν τῆς ποίμνης σου τῆς σὲ ὡς προστάτην προβαλλομένης, καὶ ῥύου σκανδάλων τοὺς τιμῶντάς σε ταῖς πρὸς Κύριον πρεσβείαις σου.

**Καὶ νῦν, Θεοτόκιον. Τὴν πᾶσαν ἐλπίδα εἰς σὲ ἀνατίθημι.**

**Ἀπολυτίκιον. Ἦχος, πλ. δ'.**

**Ἐν σοὶ Πάτερ ἀκριβῶς διεσώθη τὸ κατ' εἰκόνα.**

**Καὶ νῦν, Θεοτόκιον. Ὁ δι' ἡμᾶς γεννηθεὶς ἐκ Παρθένου.**

**Ἡ εὐλόγησις τῶν ἄρτων. Καὶ ἀπόλυσις.**

**Εἰς δὲ τὸν ὄρθρον, εἰς τὸ, Θεὸς Κύριος. Τὸ προγραφὲν τροπάριον. Καὶ ἡ συνήθης στιχολογία. Κάθισμα, ἦχος ά.**

**Τοῦ λίθου σφραγισθέντος.**

Θεαρέστως μονάσας, ἐναρέτως ἐβίωσας καὶ χάριν ἰαμάτων, ἐκομίσω Νεόφυτε, θαυμάσια τελέσας ἐν τῇ γῇ, μονὴν συγκροτήσας ἱεράν, προσενήνοχας. Χριστῷ τῶν σωζομένων πληθὺν πανόλβιε, δόξα τῷ σὲ φωτίσαντι Θεῷ δόξα τῷ σὲ ἐνισχύσαντι, δόξα τῷ ἐκτελοῦντι διὰ σοῦ πιστοῖς ἰάματα.

**Θεοτόκιον ὅμοιον.**

Τὰς χεῖράς σου τὰς θείας, αἷς τὸν Κτίστην ἐβάστασας, Παρθένε Παναγία, σαρκωθέντα χρηστότητι, προτείνουσα δυσώπησον αὐτὸν, λυτρώσασθαι ἡμᾶς ἐκ πειρασμῶν, καὶ παθῶν καὶ τῶν κινδύνων. Δόξα τῷ ἐλευθερώσαντι ἡμᾶς διὰ τοῦ τόκου σου.

**Εἰς τὴν Β'. στιχολ. Ὁ αὐτός. Τὸν τάφον σου Σωτήρ.**

Ἐκ βρέφους τῷ Θεῷ κολληθεὶς Θεοφόρε, τοῦ Πνεύματος σεπτὸν ἀνεδείχθεις δοχεῖον, καὶ τὰ πονηρότατα καθυπέταξας πνεύματα, ἐνασκήσας γὰρ ἐμεγαλύνθης ἀξίως, ὅθεν σήμερον ἐν τῇ μονῇ σου ἐλθόντες σὴν μνήμην ἑορτάζομεν.



**Θεοτόκιον ὅμοιον.**

Κυβέρνησον ἁγνὴ, τὴν ἀθλίαν ψυχήν μου καὶ οἴκτειρον αὐτὴν ὑπὸ πλήθους πταισμάτων, βυθῷ ὀλισθαίνουσαν, ἀπωλείας πανάμωμε· καὶ ἐν ὥρᾳ με τῇ φοβερᾷ τοῦ θανάτου, ἐλευθέρωσον, κατηγορούντων δαιμόνων, καὶ σῶσόν με δέομαι.

**Μετὰ τὸν πολυέλεον. Κάθισμα, ἦχος, πλ. δ.**

**Τὴν Σοφίαν, καὶ Λόγον.**

Τὰ ἐν κόσμῳ ἐμφρόνως ἐμπορευθεὶς, καὶ τῶν κάτω τὰ ἄνω ἀντιλαβὼν, πλοῦτον ἀναφαίρετον, σεαυτῷ ἐθησαύρισας, πρὸς γὰρ τοῖς αὐθαιρέτοις ἱδρῶσι καὶ πόνοις σου, καὶ Ἰὼβ ἐδέξω πληγὴν τὴν ἀνύποιστον· ὅθεν οὐρανόφρον δι' ἀμφοῖν ἐκαθάρθης, χρυσοῦ καθαρώτερον τῇ τοῦ Πνευματος χάριτι, ἐν ἐγκλείστρᾳ σῇ Ὅσιε, ἀλλὰ πρέσβευε Χριστῷ τῷ Θεῷ τῶν πταισμάτων ἄφεσιν δοθῆναι ἡμῖν, τοῖς πόθῳ ἀνυμνοῦσι τὴν ἁγίαν μνήμην σου.

**Θεοτόκιον ὅμοιον.**

Τοῦ ἡλίου νεφέλη τοῦ νοητοῦ, θείου φέγγους λυχνία χρυσοφαὴς, ἄσπιλε ἀμόλυντε ὑπεράμωμε Δέσποινα, τὴν σκοτεινὴν ψυχήν μου, τυφλώττουσαν πάθεσι, τῆς ἀπαθείας αἴγλῃ, καταύγασον δέομαι, καὶ μεμολυσμένην τὴν καρδίαν μου πλῦνον, ῥοαῖς κατανύξεως, μετανοίας με δάκρυσι, ἵνα πόθῳ κραυγάζω σοι, πρέσβευε τῷ σῷ Υἱῷ, καὶ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δοθῆναί μοι, σὲ γὰρ ἔχω ἐλπίδα ὁ ἀνάξιος δοῦλός σου.

Οἱ ἀναβαθμοί. Τὸ, ά. ἀντίφωνον τοῦ, δ'. ἤχου.

Προκείμενον. Δίκαιος ὡς φοῖνιξ ἀνθήσει.

Πεφυτευμένος ἐν τῷ οἴκῳ Κυρίου.

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Ματθαῖον ἁγίου Εὐαγγελίου.

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς, ὁ φιλῶν Πατέρα ἢ Μητέρα ὑπὲρ ἐμὲ οὐκ ἔστι μου ἄξιος. Ὁ Ν'. Ψαλμός. Ἐλέησόν με ὁ Θεός

Δόξα. Ταῖς τοῦ Ὁσίου πρεσβείαις ἐλεήμων.

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου πρεσβείαις ἐλεήμων

Ἐλεήμων ἐλέησόν με ὁ Θεός. Καὶ ἀπὸ τῆς λιτῆς, ἦχος πλ. β'.

Πάτερ ἀξιάγαστε, τῆς ἐγκλείστρας ὤφθης κάλλιστος Πολιοῦχος.

Σῶσον ὁ Θεὸς τὸν λαόν σου. Καὶ κατὰ τὴν ἐκπλήρωσιν, ἐλέει καὶ οἱ κτιρμοῖς εὐθύς. Ὁ κανὼν τῆς ἑορτῆς, ἢ τῆς Θεοτόκου. Καὶ τοῦ ἁγίου Νεοφύτου εἰς, στ'. ᾠδὴ ά. ἦχος, πλ. δ'.

Ὑγρὰν διοδεύσας ὡσεὶ ξηράν.

Νῶν ἔρωτι θείῳ καθηλωθεὶς, καὶ βίου ἐξ ὅλης βδελυξάμενος τῆς ψυχῆς, τοῦ βίου με ῥῦσαι τῶν σκανδάλων, ἵνα ὑμνῶ σὲ παμμάκαρ Νεόφυτε.

Νεώσας ἀρότρῳ τῶν προσευχῶν, τὴν αὔλακα μάκαρ τῆς ψυχῆς σου καὶ ἐν αὐτῇ σὺν δάκρυσι σπείρας ἀπολαύεις, πολλαπλασίως καρποὺς ἀγαλλόμενος.

Ὁ νοῦς σου παμμάκαρ θεοειδὴς, ποικίλαις ἐμπρέπων, ἀναβάσεσιν ἀρετῶν ἐγένετο θείας ἀπολαύων, καὶ μακαρίας τῆς τερπνότητος.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

**Θεοτόκιον**

Ὑπέρμαχον κόρη καὶ βοηθὸν, οἱ σὲ κεκτημένοι ἐκλυτροῦνται τῶν δυσχερῶν· ἁπάντων γὰρ, ἄχραντε, δεσπότην, ἐν ταῖς ἀγκάλαις ὡς βρέφους ἐβάστασες.

**Ὠδὴ, γ'. Οὐρανίας ἁψῖδος ὀροφουργέ,**

Θαυμαστὸς ἀπεφάνθης, τοῖς πονηροῖς δαίμοσιν, Ὅσιε διό με τῆς τούτων ῥῦσαι κακώσεως· σὺ γὰρ ἐδίωξας πᾶσαν κακόνοιαν, πάτερ πατέρων Νεόφυτε, καὶ ὀλεθρίαν ἰσχὺν.

Ῥώμη καὶ δυναστείᾳ τοῦ παντουργοῦ Πνεύματος ἴσχυσας δουλῶσαι τὴν σάρκα Πάτερ τῷ Πνεύματι ἀπαρνησάμενος τὸ παντελές, Θεοφόρε, ἑαυτὸν, Κυρίῳ δὲ, κατηκολούθησας.

Ἵνα μόνος τῷ μόνῳ προσομιλεῖς Ὅσιε, ἄβατον κρημνοῦ τε μονάζων χαίρων κατῴκησας, χρόνοις πεντήκοντα πέντε, διήρκεσας Πάτερ, βίαις ταῖς τῆς φύσεως ἀντιμαχόμενος.

**Θεοτόκιον**

Ὡς ὡραίαν ὡς ὅλην περικαλλῆ, ἄχραντε μόνος ὁ ὡραῖος ἐν σοὶ κατῴκησεν ἄσπορος, ἀπολυτρούμενος τῆς εἰδεχθοῦς ἁμαρτίας ἅπαντας τοὺς πίστει σε καὶ πόθῳ σέβοντας.

**Τὰ καθίσματα. Ἦχος πλ. δ'.**

**Τὴν Σοφίαν, καὶ Λόγον, ἐν σοὶ γαστρί.**

Ἀγρυπνήσας ἐν ὕμνοις καὶ προσευχαῖς κατεκοίμησας πάθη τὰ τῆς σαρκὸς· συντόνοις ἀσκήσεσι καὶ πολλοῖς ἀγωνίσμασι καὶ ὑπνώσας ὕπνον, δικαίοις ἁρμόζοντα, πρὸς αὐγὴν μετέβης, ἀνέσπερον ὅσιε· ὅθεν καὶ ἰάσεις ἀναβλύζων ὑπάρχεις, λιμὴν ἀναψύξεως τοῖς ἐν ζάλῃ κακώσεως Θεοφόρε Νεόφυτε, πρέσβευε Χριστῷ τῷ Θεῷ τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.

**Θεοτόκιον.**

Ἐνθυμοῦμαι τὴν κρίσιν καὶ δειλιῶ, ἔργα πράξας αἰσχύνης ὁ ταπεινὸς ἄξια καὶ δέομαι, Θεοτόκε Πανύμνητε, πρὸ τοῦ με Νὺξ φθάσει, θανάτου ἐπίστρεψον, πρὸς τὴν τῆς σωτηρίας ὁδὸν ὁδηγοῦσά με, ἵνα εὐχαρίστως ἀνυμνῶ προσκυνῶ σου τὴν ἄμετρον δύναμιν, καὶ τὴν θείαν ἀντίληψιν· καὶ βοῶ σοι γηθόμενος, Θεοτόκε βοήθει μοι· πρεσβεύουσα Χριστῷ τῷ Θεῷ τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, σὲ γὰρ ἔχω ἐλπίδα ὁ ἀνάξιος δοῦλος σου.

**Ὠδὴ, δ'. Εἰσακήκοα Κύριε.**

Διανοίας εὐθύτητι, Ὅσιε τὸν Κύριον ἐξεζήτησας· καὶ ἐρρύσατό σε θλίψεων, ἐπακούσας Πάτερ σῶν δεήσεων.

Ἐν νυκτὶ καὶ ἡμέρᾳ σε· εὕροιμι συλλήπτορα παμμακάριστε, ἀναγκῶν με ἐξαιρούμενον, καὶ σκανδάλων πάντων τῶν τοῦ ὄφεως.

Πληθὺς δὲ τῶν πταισμάτων μου, Ὅσιε καθέλκει με πρὸς ἀπόγνωσιν· τῇ πολλῇ γὰρ μεσιτείᾳ σου, πεποιθὼς ῥυσθείην πάσης θλίψεως.

**Θεοτόκιον**

Σωτηρίας λιμένα σε, πάντες ἐπιστάμεθα Παναμώμητε, οἱ ἐν βίῳ θαλαττεύοντες, καὶ πρὸς σὲ ἐν πόθῳ καταφεύγοντες,



**Ὠδὴ, ε' Φώτισον ἡμᾶς.**

Ὅπως πιστῶς, ἀνυμνῶ Πάτερ Νεόφυτε, καὶ τὴν προστασίαν σου τὴν θερμὴν ἀνακηρύττω, ἐκ παντὸς κινδύνου ῥῦσαι με.

Σώματος ὁρμὰς καθυπέταξας Νεόφυτε, ἐγκρατείᾳ καὶ ἀσκήσει πολλῇ, καὶ ἀγρυπνίᾳ τὸ σῶμα κατέτηξας.

Ὅλην πρὸς Θεὸν, ἀνατείνας τὴν διάνοιαν, Θείου Πνεύματος, ἐνέργειαν, ἐν σοὶ ἐδέξω Θεοφόρε παμμακάριστε.

**Θεοτόκιον**

Γένος τῶν βροτῶν, διὰ σοῦ φθορᾶς λελύτρωται, ἀπειρόγαμε Παρθένε Ἁγνὴ, καὶ διὰ τοῦτο ἀνυμνεῖ καὶ μεγαλύνει σε.

**Ὠδὴ, στ'. Ἱλάσθητί μοι Σωτήρ.**

Ἐπιβουλὰς πονηρῶς, δαιμόνων τε διασκέδασον μερόπων ἐπιβουλὰς, ἀπράκτους ἀπέργασον τὰς ἐνέδρας, Ὅσιε, ἵνα καταχρέως εὐφημοῦμεν σε Νεόφυτε.

Οὐκ ἔστιν ὅστις τὴν σὴν, οὐ προσκαλεῖται βοήθειαν, καὶ οὐ λαμβάνει εὐθὺς, τὴν ἴασιν, Ὅσιε, ἱκετεύων πάντοτε τὴν ἁγνὴν Παρθένον καὶ Μητέρα τοῦ Υἱοῦ καὶ Θεοῦ.

Ἱδρῶσιν ἀσκητικοῖς καὶ ἐργοχείρῳ σχολούμενος, φθονήσας ὁ πονηρὸς ὠλέσαι σε ἔσπευσε. λίθον γάρ σοι ἄνωθεν κρεμμᾷ τοῦ σπηλαίου, ἀλλ' ἐρρύσθης τῇ δυνάμει Χριστοῦ.

**Θεοτόκιον**

Ἡ μόνη πρὸς τὸν Θεόν, καταφυγὴ καὶ ἀντίληψις, ὃν ἔτεκες ἐν γαστρὶ, Θεὸν καθικέτευε, ἀπὸ πάσης ῥύσασθαι, ἐναντίας Κόρη περιστάσεως τοὺς δούλους σου.

**Κοντάκιον. Ἦχος β'. Τὰ ἄνω ζητῶν.**

Τὰ ἄνω ποθῶν τῶν κάτω μεθιστάμενος, λαξεύων ἐν κρημνῷ θεωρίας ἐπέτυχες, δι' αὐτῆς ἀπήστραψας τῶν θαυμάτων τὴν αἴγλην, Ὅσιε, ὃν ἀεὶ Χριστὸν τὸν Θεὸν πρεσβεύων μὴ παύσῃ ὑπὲρ πάντων ἡμῶν.

**Ὁ Οἶκος**

Ἔχων ψυχὴν ῥυπῶσαν καὶ σῶμα, μολυσμῷ ἀμέτρῳ καὶ τῇ ζάλῃ δεινῶς, τῆς ἁμαρτίας ποντούμενος οὐ τολμῶ δὲ τοῦ λέγειν, οὐδὲ ἰσχύω σοι προσφέρειν τὸν ἔπαινον, Πάτερ Νεόφυτε, ἀλλ' ὡς πηγὴ συμπαθείας ὑπάρχων Θεόληπτε, τῷ ῥείθρῳ τῆς σῆς πρεσβείας τὰ πολλά μου ἀπόπλυνον πταίσματα, καὶ ἐν ἀνοίξῃ τοῦ στόματος δωρηθῆναί μοι λόγον δυνάμωσον, δέξαι δὲ τῶν μικρῶν λειψάνων ἐγκώμιον ὡς πρὶν ὁ Δεσπότης τὰ δύο λεπτά, πρεσβεύων μὴ παύσῃ ὑπὲρ πάντων ἡμῶν.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

## ΜΗΝΙ ΙΑΝΟΥΑΡΙΩ, ΚΔ΄. ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ

## ΝΕΟΦΥΤΟΥ ΤΟΥ ΕΓΚΛΕΙΣΤΟΥ

***Ἔχει σε τύμβος, ἀλλὰ μέχρι σαρκίον.***
***Καύχημα πέλεις, ἐγκλείστρᾳ σῇ φοιτῶσι.***
***Πνεῦμα δὲ εἰκάδι δευτερίῃ σὸν ἔβη πόλεο δρμους.***

Οὗτος ὁ Ὅσιος Πατρίδα μὲν ἔσχεν τὴν τῶν Λευκάρων πολιτείαν τὴν κατὰ τὴν νῆσον τῆς Κύπρου, γονέων εὐσεβῶν χρηματίσας υἱός, ἤκμαζε δὲ ἐν τοῖς τῶν εὐσεβῶν Βασιλέων χρόνοις, τῶν Κομνηνῶν ἐν ᾧ καιρῷ οἱ σαρακηνοί, κρίμασιν οἷς οἶδε Θεός, τῆς ἁγίας τῶν Ἱεροσολύμων πόλεως ἦσαν κατακρατοῦντες, ἐξ ὧν οὐ μικρὰς καὶ ἡ νῆσος αὕτη ὑποστᾶσα, φαίνεται, ἐπιδρομὰς, ὑπό τε τῶν πρὸς ἀπολύτρωσιν τῶν ἱερῶν προσκυνημάτων, πανταχόθεν συνδραμόντων θερμῶς φιλοχρίστων στρατευμάτων, θείῳ ζήλῳ τῶν τότε εὐσεβῶν τῆς Εὐρώπης Βασιλέων κινηθέντων· ὀκτὼ οὖν καὶ δέκα ἐτῶν γενόμενος ὁ Θεῖος Νεόφυτος, τῶν γεννητόρων αὐτοῦ γάμῳ συζεῦξαι τοῦτον διασκεπτομένων, καὶ τὰ πρὸ γάμου σύμφωνα ὡς ἔθος βουλομένων ἐκτελέσαι, γνοὺς τὸ γεγονὸς λάθρα τῆς Πατρικῆς οἰκίας ὑπεξίσταται, καὶ ἐν τῇ τοῦ Ἱεροῦ Χρυσοστόμου μονῇ, τοῦ Κουτζουβέντη ἐπονομαζομένῃ ἑαυτὸν κατέκρυψε· γονεῖς καὶ ἀρραβῶνας πρὸς τοῖς λοιποῖς τῶν φθειρομένων καταφρονῶν εἰς οὐδέν ἐνόμιζεν, ἀλλ' ὑπὲρ μόνης τῆς τοῦ Κυρίου ἀγάπης ἐφρόντιζεν, ἐκ βρέφους γὰρ ἦν τὴν ἡσυχίαν ποθῶν, καὶ τὸν ἐρημικὸν βίον ἀσπαζόμενος, ὡς ἐν τῇ ἐξ ἰδίων χειρῶν συγγραφείσῃ ἱερᾷ διατάξει περὶ τῆς αὐτοῦ μονῆς καὶ ἐν αὐτῇ κατὰ καιρὸν μονάζουσι, σαφέστατα δείκνυται ἡ αὐτοῦ πρὸς θεὸν ἀγάπη, καὶ ὁ ζῆλος τῆς ἡσυχαστικῆς ζωῆς, οἷον κανόνα καὶ ὑπόδειγμα αὐτοῖς τὴν ἔνθεον αὐτοῦ πολιτείαν προστησάμενος· οἱ δὲ γονεῖς αὐτοῦ μετὰ τὴν ἀναχώρησιν ἐν λύπῃ οὐ μικρᾷ τυγχάνοντες, καὶ ἀγνοοῦντες τὴν ὁδόν, ἣν ἔλαβε, πᾶσαν τὴν νῆσον περιήρχοντο ἀνερευνοῦντες περὶ αὐτοῦ· τοιγαροῦν καὶ τὴν ῥηθεῖσαν μονὴν καταλαβόντες εὗρον μὲν αὐτόν, μηδ' ὅλως δέ βουλόμενον αὐτοῖς ἀκολουθῆσαι, ἔκλαιον ἐπὶ πολλὰς ἡμέρας καὶ ἐκόπτοντο, καὶ βιασθεὶς ἔπειτα ὑπὸ τῆς πολλῆς αὐτῶν παρακλήσεως μὴ ἔχων τί ποιῆσαι ὑπέστρεψε μεθ' ἑαυτῶν πάλιν οἴκαδε· ἵνα γὰρ καὶ τὴν Πατρικὴν ἐκπληρώσῃ ἐντολὴν τὴν ἐν τῷ Ἱερῷ Εὐαγγελίῳ, ὑπακούει καὶ συζεύγνηται τὴν μνηστευθεῖσαν αὐτῷ, καὶ χαρᾶς οὐ τῆς τυχούσης τοὺς γονεῖς κορέννυσι, καὶ πάντας γείτονας καὶ γνωστοὺς παστάδος δὲ ἑτοιμασθείσης, ὡς ἔθος τοῖς νεονύμφοις, κατὰ καιρόν, καθ' ὃν ἔδει τῇ νύμφῃ συγκαθευδῆσαι, ἀφεὶς τὸν δακτύλιον καὶ ἐπευξάμενος διὰ νυκτὸς τῆς οἰκίας ἐξέρχεται, καὶ πάλιν τὴν τοῦ Κουτζουβέντη καταλαμβάνει μονὴν καὶ παραχρῆμα τὸ τῆς μοναδικῆς πολιτείας ἐνδυθῆναι σχῆμα ἐκτενῶς παρακαλεῖ τὸν ἡγούμενον, ὅθεν κείρεται τὴν κόμην καὶ ἐνδυθεὶς τὸν πεποθημένον χιτῶνα ἐσκίρτα καὶ ἔχαιρε καὶ λαβὼν ἐντολὴν πρὸς τοῦ ἡγουμένου ἀπῆλθε φυλάττων τὰς ἐν ταῖς στοῦπες καλουμένας ἀμπέλους τῆς μονῆς, ἔνθα καθ' ὥραν οὐ διέλειπε προσευχόμενος, παντελῶς δὲ ὢν τῶν ἱερῶν γραμμάτων ἀμύητος ἐπὶ πενταετίαν ἐν τῇ τοιαύτῃ διακονίᾳ τελῶν



καὶ ταῦτα διὰ πόθον ἐμυήθη καλῶς καὶ ἀνεγίνωσκεν, ὥστε καὶ τοὺς Ψαλμοὺς τοῦ Δαβὶδ ἀπὸ στόματος λέγειν ἱκανός· ἀλλ' ἐν τούτοις ἄλλος ἔρως αὐτοῦ τὴν καρδίαν ὑπέκκαιε τοῦ παραγενέσθαι εἰς προσκύνησιν τῶν σεβασμίων τοῦ Κυρίου τόπων, καὶ δὴ ἐκπλεύσας ἔφθασεν ὡς ἐφέσεως εἶχε καὶ προσκυνήσας τὰ ἐν Ἱερουσαλὴμ τοῦ Σωτῆρος ἡμῶν πάνσεπτα σεβάσματα καὶ ὡς εἰκὸς προσευξάμενος προσεχώρησε μέχρι τῶν ὁρίων Μαγδαλῶν, Θαβὼρ καὶ Ἰορδάνου,ἐπὶ ἑξάμηνον χρόνον, τὰς τρώγλας καὶ σπήλαια ἀνιχνεύων ἵνα τύχῃ τινὰ τῶν ἀσκούντων καὶ αὐτῷ ὑποταγῆναι, ὅθεν μὴ ἀπολαύσας τοῦ ποθουμένου καὶ ὑπὸ θείας νεύσεως προτρεπόμενος ἐπανέκαμψεν εἰς τὴν ῥηθεῖσαν μονήν· ἀλλ' ὁ τῆς φιλησυχίας ἔρως οὐδέποτε ἀνέπαυεν αὐτόν, ὅθεν ἀπὸ τῆς μονῆς αὖθις ἀπάρας πρὸς τὸ τοῦ λάτρους ὄρος ἔσπευδε τὴν πορείαν ποιῶν, δεόμενος τοῦ θεοῦ ἵνα μὴ τῆς ἐλπίδος ἀποτύχῃ, ὅτε δὲ κατέλαβε τὸ ἐν τῇ Πάφῳ φρούριον γνωσθεὶς ὑπὸ τῆς φρουρᾶς ἐκρατήθη ὡς φυγάδας καὶ δῆλα δέσμιος ἐν φυλακῇ ἐφ' ἱκανὰς ὥρας ἐτηρεῖτο κακουχούμενος, καί τινες τῶν εὐσεβῶν ἐπὶ τὸ συμβὰν λυπηθέντες καὶ τῶν ἐν τῇ φρουρᾷ περὶ αὐτοῦ δεηθέντες τῶν δεσμῶν καὶ τῆς φυλακῆς ἠλευθέρωσαν, ἐπειδὴ οὖν ὅπου ὁ σκοπὸς αὐτῷ ἀπέβλεπεν, οὐ μόνον ἀτελεσφόρητος ἔμεινεν, ἀλλὰ καὶ κακώσεις τούτου χάριν ὑπέμεινεν, ἔγνω ὡς οὐκ ἦν Θεοῦ βούλησις τῆς ἐνεγκαμένης ἀπομακρυνθῆναι, ἐν ἀπορίᾳ οὔσης κἂν τότε, ὡς ἔμοιγε δοκεῖ, ἐναρέτων, καὶ ὀρθῶς κατὰ τὸν βίον πολιτευομένων ἀνδρῶν, καὶ γὰρ ὑπὸ τῶν δυτικῶν ἦν τότε κυριευομένη ἡ νῆσος, ὡς ἐν τῇ αὐτοῦ διατάξει φαίνεται κατὰ τὸ χιλιοστὸν ἑκατοστὸν πεντηκοστὸν ἔνατον ἔτος τὸ σωτήριον.

Μετὰ τὸ ἀπολυθῆναι τῆς φυλακῆς ἐν μεγίστῃ ἀπορίᾳ ὑπάρχων, καὶ εἰς λύπην οὐ μικράν, ὅπου ἂν πορευθείη, καὶ τῆς ἡσυχίας τὸν πόθον ἐπιτύχεις, συνῆλθεν εἰς ἑαυτὸν καὶ παρατυχούσης ὁδοῦ τινος ἀψάμενος ἐν ὀνόματι τοῦ Κυρίου, ἐπὶ τὸν τραχύτατον κρημνὸν τῆς μετὰ ταῦτα παρ' αὐτοῦ ὀνομασθείσης ἐγκλείστρας χωρεῖ, ἐν αὐτῷ οὖν σπήλαιον, καίτοι κατὰ τὸ μέσον ὂν τοῦ κρημνοῦ, εὑρηκώς, ἤρξατο καθαίρειν αὐτό, καὶ λαξεύειν, τότε τραχῶδες καθομαλίζειν, πότε μὲν μετὰ τῶν χειρῶν, πότε δὲ μετὰ ξύλων ὁ μακάριος ὥστε μόλις μετὰ παρέλευσιν χρόνου εἰς κατοίκησιν αὐτῷ ἐχρημάτισεν ἐνταῦθα τοιγαροῦν ἕκαστος λογιζέτω, ὁπόσας θλίψεις ὑπέμεινε διὰ τὸ ἄβατον καὶ τὴν στενότητα τοῦ κρημνοῦ, τὰς σκληραγωγίας τῆς σαρκός, τὴν γυμνότητα, τὴν πεῖναν, τὴν χαμευνίαν καὶ πᾶσαν ἄλλην ταλαιπωρίαν τοῦ σώματος,καὶ ταῦτα ἑκουσίῳ θελήματι, ἐξ ἐνατίας τὰς προσευχάς, τὰς γονυκλισίας τὰς παννυχίους στάσεις καὶ ὁλονυκτίους ὑπὲρ τῆς ἀγάπης τοῦ Θεοῦ, ἃς ἐποίει καρτερικῶς ὁ ἀοίδιμος, ὥστε τῆς φήμης τῶν κατορθωμάτων αὐτοῦ διαδοθείσης, συντρέχειν τοὺς πλείονας εἰς ἀπόλαυσιν αὐτοῦ εὐλογίας χάριν καὶ εὐχῆς· διὸ καί τινες μαθηταὶ γενέσθαι αὐτῷ ἐπόθησαν, καὶ τῆς ἀσκητικῆς αὐτοῦ διαγωγῆς ζηλωταὶ καὶ συμπράκτορες, μὴ βουλόμενος δὲ, οὐχ' ὡς ἀπεστρέφετο τὴν τῶν ἀνθρώπων συνομιλίαν καὶ τὴν αὐτῶν σωτηρίαν· ἀλλ' ὡς εἰδὼς τῷ ὄντι ὅτι ὁ εἷς τῶν δύο καὶ πλειόνων ἡσυχαστικώτερος· ἐπεὶ οὖν θερμῶς ἐπέκειντο αὐτῷ, καὶ οὐδ' ὁποσοῦν τινα ἄνεσιν ἐδίδοσαν συγκατένευσε, τινὰς μεν δεχθῆναι, οὐ μὴν δὲ καὶ πλείονας τῶν δέκα, ἔνθεν τοι διδά-

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

σκων αὐτοὺς τὰ τῆς ἀρετῆς ὄργια ηὔξανε τὴν ἀκοὴν τῆς αὐτοῦ διαγωγῆς καίτοι τοὺς τῶν ἀνθρώπων ἐπαίνους παντελῶς ἐκποδῶν ἦν ἀποστρεφόμενος· ἀλλ' ὁ Θεὸς ὁ τοὺς θεράποντας αὐτοῦ, οὐ μόνον τῆς ἄνω δόξης ἀξιοῖ, ἀλλὰ καὶ τῆς ἐνθάδε ἐστερημένους εἶνε μὴ βουλόμενος, κελεύει δι' ὁράσεως θείας, τῆς τῶν Παφίων πόλεως ποιμένα Βασίλειον, εἰς τὸ τοῦ πρεσβυτέρου ἀξίωμα προβιβάσαι τὸν Ὅσιον, καὶ τὰ ἀρκοῦντα σιτηρέσια αὐτῷ παρέξοντα διὰ σιγιλλίου αὐτὰ ἐπισφραγίσαι, ἵνα δι' αὐτῶν τὴν μονὴν ἔχῃ ἀνεγεῖραι, καὶ ὡς ἐκελεύθη ὁ Ἀρχιερεὺς οὕτω πεποίηκε μετὰ δὲ τὸν βαθμὸν τίς εὐπορεῖ λόγων δηλῶσαι τοὺς ἀγῶνας, τὰς προσευχάς, νηστείας τε καὶ ἀγρυπνίας, ἃς ἐποίει ὁ μακάριος, ἀνήγειρε τοιγαροῦν εἰς κάλλος οὐ τὸ τυχὸν τὴν ἀνωτέραν μονήν, ἐγκλείστραν αὐτὴν ἐπωνομάσας, διὰ τὸ ἐγκλεισθῆναι αὐτὸν ἐπὶ χρόνοις εἴκοσι πρὸς τοῖς τέσσαρσιν ἐν τῷ ῥηθέντι σπηλαίῳ (ὁ δὲ ἤδη ὁρώμενος περικαλλὴς ναὸς σὺν ἄλλοις οἰκοδομήμασι, καίτοι τούτων πολλὰ διεφθάρησαν τῷ χρόνῳ καὶ τῇ ἀνωμαλίᾳ, φαίνεται, ὅτι ᾠκοδομήθη μετὰ τὴν τελετὴν αὐτοῦ Βασιλικῷ θεσπίσματι καὶ συναρρωγῇ πλουσίᾳ, καθὰ καὶ τὸ περίπου τῶν ἑκατὸν πεντήκοντα ἐτῶν. Συγγιλιῶδες Πατριαρχικὸν μαρτυροῖ γράμμα σωζόμενον μέχρι τοῦ νῦν), καὶ οὕτω διατάξας τοὺς μετ' αὐτὸν χρηματίσαντας ἐγκλείστους λέγεσθαι, οὐκ ὀνόματι μόνον, ἀλλὰ καὶ πράγματι, τὸν αὐτοῦ βίον εἰκόνα προτιθεμένους, καὶ ἀδελφότητα καταστήσας ἐδίδασκεν, ὡς νεοπαγεῖς αὐτοὺς συχνῶς, καὶ πρὸς τὴν ἐργασίαν καὶ ἐκπλήρωσιν τῶν ἀρετῶν ἐνίσχυε. Βλέπων δὲ ὡς τῆς φίλης αὐτοῦ ἡσυχίας ἀπεστέρηται, ἄνωθεν τοῦ σπηλαίου ὁ κλήσει τοῦ τιμίου Σταυροῦ εἰς ναὸν προκαθιέρωσε πάνυ σμικρότατον ἄντρον ὑπάρχον, καὶ σχεδὸν ἄβατον, ἐν αὐτῷ κατακληθῆναι ἔγνω, καὶ μηδαμοῦ τοῦ λοιποῦ ἐν θορύβῳ διάγειν, ἔνθα λαξεύοντος καὶ διορύττοντος, λίθος βαρύς, φθόνῳ τοῦ μισοκάλου ἐκπεσὼν συνθλᾷ τὴν χεῖρα τοῦ Ὁσίου, προσωθούμενος αὐτὸν κατὰ τὸ κρημνῶδες, ἀλλὰ προφθάσασα ἡ θεία δύναμις ἀβλαβῆ διεφύλαξε, πρὸς πεισμονὴν τοῦ δαίμονος, τὸ δὲ σπήλαιον οἶκον προσευχῶν καὶ δοξολογίας Θεοῦ πεποίηκεν, ἐν ᾧ κατακλείσας ἑαυτὸν νηστείᾳ καὶ σκληραγωγίᾳ ταλαιπωρῶν τὴν σάρκα προσηύχετο, καὶ ἀνὰ πᾶσαν Κυριακὴν διὰ κλίμακος μεταφερομένης κατείρχετο ἐν τῇ ἐγκλείστρᾳ, διδάσκων τοὺς μαθητὰς καὶ αὐτοὺς ποδηγετῶν τὰ πρὸς ἀρετήν, πάλιν ἀνείρχετο διὰ τῆς κλίμακος εἰς τὸ ἄντρον· ζήσας δὲ ἐν τοιαύτῃ τῆς ἀσκήσεως διαγωγῇ πεντήκοντα καὶ πέντε ἔτη, καὶ τῇ μελέτῃ τῶν θείων Γραφῶν ἑαυτὸν ἐγγυμνάσας ἐπὶ τὸ ἄκρον τῆς ἀρετῆς προελύληθε· τεκμήριον δὲ οἱ συγγραφέντες παρ' αὐτοῦ λόγοι πρὸς τοὺς αὐτοῦ φοιτητάς, παντοίας παιδεύσεως καὶ ὠφελείας ὄντες μεστοί, ὡς εἶνε ἐν βίβλοις δεκαὲξ τὰ παρ' αὐτοῦ συγγραφέντα, ὡς φαίνονται κατὰ μέρος, τινὰ μὲν αὐτῶν ἤδη σωζόμενα, ἐν τῇ αὐτοῦ μονῇ καὶ εἰς τύπον δοθέντα, τινὰ δὲ ὑπὸ τοῦ χρόνου καθυποβληθέντα, ἄλλως τε καὶ ἀπὸ τῆς ἀμελείας τῶν κατὰ καιρὸν ἐπιστατούντων παρωραθέντα· ἐν τούτοις πᾶσι καλῶς ἀγωνισάμενος γέγονε σκεῦος τοῦ Παναγίου Πνεύματος, ὥστε προγνωρίσαι τὴν αὐτοῦ πρὸς Κύριον ἐκδημίαν, καὶ πρὸ ἡμερῶν τὴν αὐτοῦ ἀποβίωσιν δηλῶσαι τοῖς μαθηταῖς αὐτοῦ καὶ ὀπαδοῖς· ὅθεν τοὺς ἀδελφοὺς καλέσας ἤρξατο ὁμιλεῖν αὐτοῖς καὶ συμβουλεύειν τὰ ἀνήκοντα τῷ ἀσκητικῷ βίῳ, ἵνα μετὰ τὴν αὐτοῦ ἀποβίωσιν πολιτεύωνται ἀμέμπτως, καὶ ὡς αὐτοῖς διέθετο διαταξάμενος, ἀτρέπτως τηρεῖν τὰ ἐπικυρωθέντα, καὶ παραινῶν αὐτοῖς προσέθετο ἐν τῷ ἐνδοτέρῳ τοῦ σπηλαίου λαξευθέντι ἰδιοχείρως τάφῳ μετὰ τὰς ἐξοδίους ᾠδὰς τὸ νεκρὸν τοῦ σώματος κατακρύψαι, καὶ μετὰ τῶν ἐξ αὐτοῦ νηθέντων νεκροταφείων ἐνταφιάσαι, τὴν τελευταίαν ἐντολὴν ἐπευξάμενος αὐτοῖς, ἐν εἰρήνῃ καὶ θεαρέστῳ πολιτείᾳ διάγειν, ἐν ὁμονοίᾳ τε καὶ ἀγάπῃ ἀδελφικῇ τῇ τε ἐγκριθέντι γνώμῃ αὐτῶν, μέλλοντι προστατεῦσαι τῆς μονῆς ἐγκλείστρῳ ὑπακούειν καὶ ὑποτάσσεσθαι, καθὰ ὁ μοναδικὸς βίος καὶ κανὼν ἀπαιτεῖ, καὶ μηδὲν τῶν ἐν τῇ διατάξει διωρισθέντων παραβαίνειν καὶ προσευξάμενος περὶ αὐτῶν, τὸ πνεῦμα εἰς χεῖρας Θεοῦ παρέδωκεν. Ὅσος δὲ κοπετὸς καὶ θρῆνος μετὰ τὴν αὐτοῦ ἀποβίωσιν, ὑπό τε τῶν αὐτοῦ ἀκολούθων καὶ πνευματικῶν τέκνων, ὑπό τε τῶν τὴν ὑπὲρ ἄνθρωπον πολιτείαν αὐτοῦ ἐγνωκότων γέγονεν, ἀδύνατον γραφῇ παραδοῦναι. Τοιγαροῦν ὡς παρήγγειλεν αὐτοῖς οὕτως ἐποίησαν, καὶ ἐνταφιάσαντες μετὰ τῶν συνήθων εὐχῶν τε καὶ δεήσεων τὸ Τίμιον αὐτοῦ Λείψανον ἐν ᾧ ἀπήγγειλε τάφῳ, ἐπετέλεσαν παννύχιον ἱκεσίαν ἐπὶ πολλὰς ἡμέρας εἰς μνήμην αὐτοῦ, οὗ ταῖς ἁγίαις πρεσβείαις καὶ εὐχαῖς σωθείημεν ἅπαντες ἐν Χριστῷ Ἰησοῦ Κυρίῳ ἡμῶν, ᾧ πρέπει δόξα αἴνεσις καὶ μεγαλοπρέπεια εἰς τοὺς αἰῶνας. Ἀμήν.



**Ὠδή, ζ'. Παῖδες Ἑβραίων ἐν καμίνῳ.**

Ἄρτου οὐδ' ὅλως ἐπετράφου, ἐκτρεφόμενος ταῖς θ[illegible]τις θεωρίαις· ἐντρυφῶν ἀληθῶς Νεόφυτε ἐβόας, εὐλογητὸς εἶ Κύριε, ὁ Θε[illegible] εἰς τοὺς αἰῶνας.

Ὅλος ταῖς ἄνω λαμπηδόσι φωτιζόμενος τὰ μέλλοντα ἑώρ[illegible] ὡς παρόντα Χριστῷ πανόλβιε κραυγάζων, εὐλογητὸς εἶ *Κύριε* ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Ὕμνοις σχολάζων καὶ νηστείαις, ἀγρυπνίαις τε καὶ στάσεσι παννύχοις, τῷ τῶν ὅλων Θεῷ ἀνέμελπες ἀπαύστως, εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

**Θεοτόκιον,**

Ἤρθη τῆς πάλαι ἁμαρτίας, ἡ κατάκρισις τεκούσης σου Παρθένε· τὸν εἰς δρόσον τὸ πῦρ ἀμείψαντα τῶν παίδων, διό σε πάντες ἄχραντε, μεγαλύνομεν ἀξίως.

**Ὠδή, η' Ἑπταπλασίως κάμινον.**

Ὡς θαυμαστὸς Νεόφυτε, ὡς παράδοξος πέφυκε, πᾶσαν καταπλήττων ἀκοὴν καὶ ἔννοιαν ὁ ἔνθεος βίος σου, τοὺς πειρασμοὺς οὓς ἔφερες, ἐπὶ τῷ κρημνῷ ἐν τῷ λαξεύειν τὸ σπέος, ἀπαύστως ἀναμέλπων ἱερεῖς εὐλογεῖτε.

Νῦν ἐν ἀβάτοις Ὅσιε, καὶ σπηλαίοις καὶ ὄρεσι, πάντα σου τὸν βίον διελθὼν ἀπείληφας, τὴν ἄνω μητρόπολιν, ἑορταζόντων ἔνθα φωναὶ τῆς ἐν εὐφροσύνῃ, τοὺς ἐν πίστει μεθ' ὧν σε, ῥυσθῆναι πάσης βλάβης, Χριστῷ μὴ διαλείπῃς πρεσβεύων εἰς αἰῶνας.

Ῥάκει νῦν ἅπερ ὥρισας τῆς σαρκὸς τὰ καλύμματα, ἔνδον ἐν τῇ θήκῃ πρὸ τῶν χιόνων ἵστανται, ἐν τῷ σεπτῷ τεμένει σου πόθῳ τε καὶ πίστει, ἀκλινῇ προσιόντες χιτῶνα εὐφροσύνης, περιθέσθαι δυσώπει Χριστὸν τὸν ζωοδότην, ἡμᾶς εἰς τοὺς αἰῶνας.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

**Θεοτόκιον.**

Ράβδος ἐκ ῥίζης πέφυκας Ἰεσσαὶ ἡ βλαστήσασα, ἄνθος τὸν *Χριστὸν* τὸν φυτουργὸν τῆς κτίσεως, αὐτὸν οὖν ἱλέωσαι, θεοκυῆτορ πᾶσιν ἡμῖν, τοῖς ἐξ ἀκανθώδους ἁμαρτίας πληγεῖσι, καρπούς τε ἐκβλαστάνειν σωτηρίας ποιοῦσα ταῖς σαῖς πρὸς τὸν δεσπότην ἀπαύστοις μεσιτείαις.

**Ὠιδή, θ. Ἔφριξε πᾶσα ἀκοή.**

Γέγονας οἷαπερ ἀστὴρ φωτοβόλος λαμπρυνθεὶς τοῖς χαρίσμασιν, ἀγωνισάμενος, καὶ κατὰ κράτος καταστρεψάμενος ταῖς μηχαναῖς τοῦ πονηροῦ, πάτερ κοσμοκράτορος, ἀφ' ὧν ρυσθῆναι ἡμᾶς, τὸν φιλάνθρωπον Θεόν καθικέτευε.

Ἵνα σε μάκαρ ἀνυμνῶ, καὶ δοξάζω εὐχαρίστως Νεόφυτε, τῶν τυραννούντων με, παθῶν ποικίλων ψυχῆς καὶ σώματος, ἀταλλαγὴν ταῖς πρὸς Θεὸν πρεσβείαις σου δώρησαι καὶ τῶν αὐτοῦ ἐντολῶν, ἀκαταίσχυντον ἐργάτην με ποίησον.

Ὅλον σοι πάτερ ἐμαυτόν, προσκομίζω ἐκ καρδίας Νεόφυτε, θερμῶς κραυγάζω σοι, ἐν τῇ μελλούσῃ ἡμέρᾳ πρόστιθι, τῆς ταλαιπώρου μου ψυχῆς καὶ ρῦσαι κολάσεως τῆς ἐν γεέννῃ με, ἱκετεύων τὸν φιλάνθρωπον Κύριον.

**Θεοτόκιον.**

Ὕψιστον ἄχραντον Θεόν, καὶ φιλάνθρωπον τεκοῦσα ἀγάθυνον, κεκακωμένην μου, ταῖς ἁμαρτίαις τὴν παναθλίαν ψυχήν, καὶ ἐμπλησθῆναι τῆς αὐτοῦ χαρᾶς καταξίωσον, ἵνα δοξάζω σε, προστασία τῶν πιστῶν ἀκαταίσχυντε.

**Ἐξαποστηλάρια. Γυναῖκες ἀκουτίσθητε.**

Τὸν μέγιστον Νεόφυτον, τῶν ἀσκητῶν τὸ καύχημα, τὸν τῆς ἐγκλείστρας πολίτην, καὶ Ἄγγελον ἐν σώματι, δεῦτε πιστοὶ ὑμνήσωμεν· αὐτὸς γὰρ τὸν φιλάνθρωπον Θεὸν πρεσβεύει πάντοτε, ὑπὲρ τῶν πίστει ὑμνούντων τὴν ἔνδοξον αὐτοῦ μνήμην,

Τάξεις Ἀγγέλων ἄτασαι, ἀγῶνας κατεπλάγησαν, οὓς ἐν ἐγκλείστρᾳ διετέλεις, Νεόφυτε Θεοφόρε, πέντε δὲ πρὸς πεντήκοντα ἔτεσι Πάτερ ἤσκησας, καὶ νῦν παμμάκαρ Ὅσιε, σὺν τῷ Χριστῷ βασιλεύεις εις ἀπεράντους αἰῶνας.

**Θεοτόκιον**

Ἀξίως ἐπωφείλεται, ὑμνεῖν σε τὴν πανύμνητον, δι' ἧς ἡμῖν ὡμηρεύθη, τῆς σωτηρίας τὰ θεῖα ἐνέχειρα, καὶ ἕνωσις, ἡ πρὸς Θεὸν ἐγένετο, καὶ οὐρανῶν κατοίκησις, ἀλλ' ὦ Παρθένε καὶ Μῆτερ, σῶζε, καὶ νῦν τὸν λαόν σου.

***Εἰς τοὺς αἴνους. Στιχηρὰ, ἦχος ά. Πανεύφημοι Μάρτυρες ὑμᾶς.***

Παμμάκαρ Νεόφυτε, τὴν σὴν ἐκ παιδὸς ἀνέθηκας, ζωὴν **Χριστῷ τῷ Θεῷ** ἡμῶν, ὑφ' οὗ σθενούμενος, τῆς σαρκὸς τὰ πάθη, λογισμῷ ὑπέταξας τὸ χεῖρον ὑποτάττων τῷ κρείττονι, διὸ ἱκέτευε δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην καὶ τὸ μέγα ἔλεος.

Θεόφρων Νεόφυτε, φωστὴρ καθωράθης μέγιστος, φωταγωγῶν τὴν ὑφήλιον, θαυμάτων λάμψεσι, καὶ ἐνθέων ἔργων· ὅθεν μετὰ κοίμησιν, τὸ ἄδυτόν σε φῶς ὑπεδέξατο· διὸ ἱκέτευε δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ



Στύλος ἐχρημάτισας σοφέ, μοναστῶν ἀκλόνητος, ἀπονεκρούμενος ἄπασαν σαρκὸς εὐπάθειαν, ἐν λιμῷ καὶ δίψει καὶ πολλαῖς ἀσκήσεσι, διὸ καθυπεδέξω τοῦ Πνεύματος Θεῖα χαρίσματα, ἰατρεύειν ἀρρωστήματα καὶ διώκειν πάθη χαλαιπώτατα.

***Δόξα. Ἦχος, πλ. β'.***

Τῶν ὀχληρῶν τοῦ βίου ἐπαναστὰς Νεόφυτε, φιλησυχίαν τὴν ἐγκλείστραν κατέλαβες καὶ δι' αὐτῆς πρός Θεὸν πρακτικῶς ἀναγόμενος, τῷ κόσμῳ ἔλαμψας φωστήρ, καὶ ῥήματα ζωῆς τοῖς ἀνθρώποις ἐπήγασας διὸ μὴ παύσῃ ἐν ταῖς εὐχαῖς σου στηρίζων ἡμᾶς, ἐκ βλάβης τοῦ ἀλλοτρίου, τὰς ψυχὰς ἡμῶν Ὅσιε Πάτερ.

***Καὶ νῦν, Θεοτόκε σὺ εἶ ἄμπελος ἡ ἀληθινή.***

***Εἰς τὴν Λειτουργίαν Τυπικά, καὶ ἐκ τοῦ Κανόνος τοῦ Ὁσίου, ᾠδή, γ'. καὶ στ'. Εὐαγγέλιον. Εἶπεν ὁ Κύριος πάντα μοι παρεδόθη ὑπὸ τοῦ Πατρός μου. Τέλος, ὁ γὰρ ζυγός μου Χριστὸς καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστι. Κοινωνικόν. Εἰς μνημόσυνον, αἰώνιον.***

ΚΑΤΑ ΤΗΝ ΚΗ΄. ΤΟΥ ΣΕΠΤΕΜΒΡΙΟΥ ΜΗΝΟΣ

**Ἑορτάζομεν τὴν ἀνακομιδὴν, ἤτοι τὴν εὕρεσιν τοῦ Λειψάνου, τοῦ Ὁσίου καὶ Θεοφόρου Πατρὸς ἡμῶν**

# ΝΕΟΦΥΤΟΥ

## ΤΟΥ ΕΓΚΛΕΙΣΤΟΥ

**Ἑσπέρας μετὰ τὸν προοιμιακὸν, τὸ, Μακάριος ἀνὴρ, εἰς τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν, στίχους στ΄. Καὶ ψάλλομεν, στιχηρὰ προσόμοια, ἦχος α΄. Τῶν Οὐρανίων ταγμάτων τὸ ἀγαλλίαμα.**

Δεῦτε πιστοὶ συνελθόντες πανηγυρίσωμεν, ἐν τῇ σεπτῇ εὑρέσει, τοῦ τιμίου λειψάνου, τοῦ ὄντος κεκρυμμένου πάλαι ἐν τῇ γῇ ἐπὶ ἔτεσι πλείοσι καὶ θείᾳ χάριτι ἤδη φανερωθὲν, ὥσπερ κρίνον εὐωδέστατον.

Δεῦτε συνέλθωμεν πάντες ἐν τῷ ναῷ τοῦ Θεοῦ, ὅπου τὸ Θεῖον σκῆνος, τοῦ σεπτοῦ Νεοφύτου. καὶ ᾄσμασιν ἐνθέοις βοῶντες αὐτῷ, δεῦρο ἅγιε πρόφθασον, καὶ ἐκ παθῶν πολυτρόπων καὶ πειρασμῶν, ἡμᾶς πάντας ἐλευθέρωσον.

Δεῦτε θεάσασθαι πάντες ἐν τῇ ἐγκλείστρᾳ φρικτὸν θέαμα θεαμάτων καὶ πλῆρες ἰαμάτων, τὸ πανέντιμον σκεῦος τοῦ Θείου Πατρὸς, Νεοφύτου τὸ εὔοσμον, ὅ καὶ ἀσπάσασθαι πίστει πανευλαβῶς, ὡς πηγὴν πᾶσι σωτήριον.

Τὸν ἐν ἐγκλείστρᾳ φανέντα νέον ἡμῖν θησαυρὸν, Νεόφυτον τὸν Θεῖον τῶν Κυπρίων τὸ κλέος, τὸν μέγιστον προστάτην τιμήσωμεν νῦν, ὃς ἀξίως ἀπείληφε, παρὰ Θεοῦ ἰαμάτων παντοδαπῶν, θείαν χάριν ὡς θεόσοφος.

Τῶν ἀθεάτων τὰ κάλλη κατοπτρισάμενος, ἐγένου ἔξω κόσμου, θεοφόρε παμμάκαρ, διὸ καὶ τοὺς στεφάνους παρὰ Θεοῦ, τῶν σῶν πόθων ἀπείληφας καὶ χάριν τοῦ ἐκδιώκειν τὰ μυσαρὰ, τῆς πονηρίας Πάτερ πνεύματα.

Σήμερον ἅπας ὁ δῆμος τῶν ὀρθοδόξων σκιρτᾷ ἐπὶ τῇ ἐπανόδῳ τοῦ τιμίου λειψάνου, τοῦ Θείου Νεοφύτου, τοῦ ἐν κρημνοῖς, τῆς ἐγκλείστρας οἰκήσαντος, καὶ τοῦ Σταυροῦ τῇ δυνάμει τῶν πειρασμῶν, τὰς προσβολὰς ἐξαφανίσαντος.

**Δόξα, ἦχος, πλ. β΄. Ποίημα Ἐφραίμ.**

Δεῦτε τῶν Κυπρίων ὁ δῆμος, τὸ πρὸ ἐτῶν ἤδη πεντακοσίων, κεκρυμμένον ἐν γῇ σεπτὸν λείψανον τοῦ Ὁσίου, κατιδόντες φανερωθὲν ὥσπερ πολύτιμον εὑρόντες θησαυρὸν, σκιρτήσωμεν οἱ πιστοὶ ἀγαλλόμενοι καὶ χάριτος τῆς ἐν αὐτῷ, διὰ τῆς πνευματικῆς εὐωδίας ἐμφορηθέντες, τὸν ἔγκλειστον Νεόφυτον εὐλαβῶς τιμήσωμεν, ὡς παρὰ Θεοῦ δοξασθέντα, ᾧ καὶ πρεσβεύει ἀδιαλείπτως ὑπὲρ τῶν ψυχῶν ἡμῶν.



***Καὶ νῦν, Θεοτόκιον, τοῦ ἤχου.***

***Τίς μὴ μακαρίσει σε Παναγία Παρθένε.***

***Εἴσοδος, τὸ Φῶς ἱλαρὸν, προκείμενον τῆς ἡμέρας καὶ τὰ ἀναγνώσματα, ἅπερ προεγράφησαν εἰς τὴν μνήμην αὐτοῦ.***

***Εἰς τὴν λιτὴν ἰδιόμελα, ἦχος πλ. δ΄. Κυπριανοῦ.***

Ἄνωθεν ἡ χάρις τοῦ παντουργοῦ πνεύματος, ἐν τῇ καθαρᾷ σου καρδίᾳ ἐπιφοιτήσασα, ἱερὸν καταγώγιον ἀνέδειξέ σε τῶν ἀρετῶν· δι᾽ αὐτῆς γὰρ ὁδηγούμενος τὴν ἔρημον κατέλαβες, καὶ ἐν ἀβάτῳ ἄντρῳ ἀνελθὼν τῇ τῆς σαρκὸς καταθλίψει, ἐν νηστείᾳ καὶ γυμνότητι, καὶ τοῖς ἀπαύστοις δακρύοις, τὸν ἀταπείνωτον τῆς ἀνθρωπίνης φύσεως πολέμιον ἐταπείνωσας, ὅθεν καὶ μετὰ θάνατον ὁ Χριστὸς σὲ ἐδόξασε, τῇ τῶν λειψάνων εὐωδίᾳ, καὶ τῇ τῶν θαυμάτων ἐνεργείᾳ, τοὺς γὰρ προσερχομένους τῇ σῇ θήκῃ εὐλαβῶς τῶν ψυχοφθόρων καὶ σωματικῶν παθῶν ἀπαλλάττεις ἐπικαλουμένους σε, ἀλλ᾽ ὦ πατέρων καλλονὴ, καὶ νῦν δὸς ἡμῖν αἰσίως ἑορτάζειν, τὴν ἀνακομιδὴν τῶν λειψάνων σου, καὶ δίδου εὐφροσύνην ταῖς ψυχαῖς ἡμῶν ταῖς πρὸς Θεὸν ἱκεσίαις σου.

Κυπρίων δῆμοι σήμερον συνελθόντες, ἐν τῇ σορῷ τοῦ Θείου Πατρὸς ᾠδὴν αἰνέσεως, τῷ δοξάζοντι Θεῷ τοὺς αὐτὸν ἀντιδοξάζοντας ᾄσατε· δόξα λέγοντες τῷ ἀμειβαῖς θαυμασίαις, τὸν ὑπὲρ σοῦ τὰ πάντα καταλιπόντα, καὶ ἐν ἀγῶσιν ἀσκητικοῖς τὸν βίον τελέσαντα, καταπλουτίσαντι, τὴν τῶν λειψάνων θείαν αὐτοῦ λάρνακα, εὐωδίας ἐξαισίου, δόξα τῷ νέμοντι τὴν χάριν, τοῖς ἀσπαζομένοις τὴν θείαν κόνιν τοῦ σοῦ θεράποντος, καὶ εὐθέως τὰς αἰτήσεις, δι᾽ αὐτῆς, λαμβανομένοις, δόξα σοι, τῷ βραβεύσαντι ἡμῖν ἐν καιροῖς χαλεπωτάτοις, παραμύθιον ταῖς ψυχαῖς ἡμῶν, τὴν τῶν λειψάνων νεοβλαστήσασαν μυροθήκην, τοῦ Θείου Νεοφύτου, δι᾽ οὗ εἰρήνην δώρησαι, καὶ ταῖς ψυχαῖς ἡμῶν, τὸ μέγα ἔλεος.

***Δόξα ὁ αὐτός.***

Ἀσκήσεως ὁ κανών, καὶ τῶν ἀρετῶν ἡ στάθμη, Νεόφυτε Θεῖε Πάτερ, ὥσπερ ἐν γῇ Ἀγγελικῶς πολιτευσάμενος, ὁδηγὸς γέγονας θρεμμάτων λογικῶν, καὶ ὡς μάνδραν, τὴν ἐγκλείστραν μονήν σου περιεποιήσω, ἐκ τοῦ νοητοῦ λύκου, τοῦ ἐχθροῦ ἀλώβητον, οὕτω καὶ νῦν διὰ τῆς τῶν σεβασμίων Λειψάνων σου, νεοφανείσης ἡμῖν παροχῆς, τῇ χορηγίᾳ τῆς ἐξ αὐτῶν ἀναδιδομένης χάριτος, ἀπέλασον πάντα πειρασμὸν ἐξ αὐτῆς, καὶ ὑμνεῖν τὸν σὲ δοξάσαντα, τοὺς ἐν αὐτῇ περιφρούρησον, παρέχων τοῖς αἰτοῦσι τὴν ἴασιν, καὶ τοῖς ἐκ πόθου ἀσπαζομένοις τὴν σεβάσμιον κάραν σου, ῥύου δὲ ταύτην ταῖς ἀλήκτοις πρεσβείαις σου καὶ τὴν νῆσον πᾶσαν, ἐκ λοιμοῦ, λιμοῦ, ἀκρίδος καὶ χαλάζης καὶ πάσης ἐπερχομένης διὰ τὰς ἁμαρτίας ἡμῶν κακώσεως, ὡς παρρησίαν κεκτημένος πρὸς Θεόν, τὸν σὲ ἡμῖν ἐπιβραβεύσαντα.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣ

***Εἰς τὸν στίχ. στιχηρὰ προσόμοια, ἦχος, δ'. Ἔδωκας σημείωσιν.***

Ἐν ἄντρῳ παρῴκησας, ἀσκητικῶς καθαιρόμενος, καὶ Θεῷ συγγινόμενος νοὸς τελειότητι, ὅθεν ὑπεδέξω, χάριν τῶν θαυμάτων, καὶ τῶν τοῦ πνεύματος σοφέ, τὰ τῶν ἀνθρώπων λύειν νοσήματα, διό σε μακαρίζομεν καὶ τῶν λειψάνων τὴν λάρνακα, τὴν σεπτὴν καὶ σωτήριον ἑορτάζομεν σήμερον.

Ἡ κόνις τοῦ σώματος, μῦρον εὐῶδες πηγάζουσα, τὰ δυσώδη παθήματα, διώκει ἀοίδιμε καὶ γὰρ εὐωδία, Χριστοῦ ἀνεδείχθης, καὶ ἐν τῷ βίῳ περιὼν καὶ μετὰ τέλος, Μάκαρ Νεόφυτε, διό σου τὴν πανέορτον καὶ θαυμαστὴν καὶ σωτήριον ἐκτελοῦμεν πανήγυριν τῶν Ὁσίων ὁμόσκηνε.

Σῶμα τὸ δυσήνιον, καθυποτάξας τῷ πνεύματι, τὴν ψυχὴν γενναιότατε, λαμπρύνας ταῖς χάρισι, ταῖς ἐκπεμπομέναις, ἀπαύστως θεόθεν, καὶ ἐδωμήσω ἱερὸν, ναὸν τοῦ σώματος Θείου Πνεύματος, διό σε ἀμειβόμενος, ὁ πλουτοδότης ἐκόσμησε, τὴν σεπτὴν τῶν Λειψάνων σου, θήκην λύειν νοσήματα.

***Δόξα, ἦχος πλ. δ'. Κυπριανοῦ.***

Τῶν γενναίων ἐπὶ γῆς κατορθωμάτων σου, Ὅσιε Πάτερ, ὁ καρπὸς ἐφαίδρυνε τῶν πιστῶν τὰς καρδίας, τίς γὰρ ἀκούων τὴν ἄμετρόν σου ταπείνωσιν, τὴν ὑπομονὴν οὐκ ἐθαύμασε ; τὸ πρὸς τοὺς ἀγῶνας ἐγκαρτερεῖν, καὶ ὀρθῶς βηματίζειν πάντας τοὺς ὑπὸ σὲ θεοπρεπῶς ἐδίδαξας τὴν δὲ ἀκτημοσύνην, τοῦ μονήρους βίου κανόνα ἀπαράτρεπτον ἐντάξας, Ἀγγελικῶς ἐν γῇ πολιτεύεσθαι ἐπαίδευσας, Νεόφυτε, ἐγκλείστρας προστάτα καὶ ποιμὴν, διὸ τὸν ἀμαράντιδον ἐδέξω στέφανον παρὰ τοῦ μισθαποδότου Θεοῦ, μὴ διαλείπῃς οὖν πρεσβεύων ὑπὲρ ἡμῶν καὶ παρέχων τὰς αἰτήσεις τῶν πιστῶν σου προσκυνούντων τὰ λείψανα.

***Καὶ νῦν Θεοτόκιον. Δέσποινα πρόσδεξαι.***
***Ἀπολυτίκιον, ἦχος, ά. Τοῦ αὐτοῦ.***

Τῶν Λευκάρων τὸ κλέος καὶ Κυπρίων τὸ καύχημα, μονῆς ἐγκλείστρας πολιοῦχε, Θεοφόρε Πάτερ ἡμῶν Νεόφυτε, νηστείᾳ ἀγρυπνίᾳ, προσευχῇ καὶ ἔγκλειστος ἐν ἄντρῳ καρτερῶν, θείαν χάριν ἐκομίσω, ἣν πιστοῖς νῦν παρέχει θήκη Λειψάνων σου, δόξα τῷ ταύτην βραβεύσαντι ἡμῖν, δόξα τῷ σὲ δοξάσαντι, δόξα τῷ χορηγοῦντι, διὰ σοῦ πᾶσιν ἰάματα.

**Καὶ νῦν. Τοῦ Γαβριὴλ φθεγξαμένου.**
**Εἰς τὸν Ὄρθρον κατὰ τὴν ά στιχολογ. Καθέσματα, ἦχος, ά.**
**Τὸν τάφον σου σωτήρ.**

Προσέλθωμεν πιστοὶ, τῶν Λειψάνων τῇ θήκῃ τοῦ Θείου καὶ κλεινοῦ, καὶ στερροῦ, Νεοφύτου, καὶ πόθῳ προσπτυσσόμενοι, πρὸς αὐτὸν ἐκβοήσωμεν, δεῦρο ἅγιε, τῆς τῶν παθῶν τυραννίδος, ἐλευθέρωσον, τοὺς σὲ τιμῶντας ἀξίως καὶ πόθῳ μακαρίζοντας.

**Δόξα, καὶ νῦν Θεοτόκιον.**

Προστάτην πρὸςΘεὸν κεκτημένοι σε πάντες,προστρέχομεν σεμνῇ τῷ Ἁγίῳ



Ναῷ σου, αἰτούμενοι βοήθειαν παρὰ σοῦ Ἀειπάρθενε, ῥῦσαι οὖν ἡμᾶς τῆς τῶν δαιμόνων κακίας, καὶ ἐξάρπασον ἐκ καταδίκης φρικώδους, τοὺς σὲ μακαρίζοντας.

**Μετὰ τὴν β'.στιχολογ.Κάθισμα,ἦχος γ'.Θείας πίστεωςὁμολογία**

Χαίρει ἔχουσα, νῦν ἡ ἐγκλείστρα, θείαν λάρνακα τῶν σῶν Λειψάνων, ἀναβρύουσαν πηγὰς τῶν ἰάσεων, καὶ διασώζουσαν πάντας ἐκ θλίψεως, τοὺς σοὶ προστρέχοντας, Πάτερ Ὅσιε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

**Δόξα, καὶ νῦν, Θεοτόκιον.**

Θείας φύσεως οὐκ ἐχωρίσθη, σὰρξ γενόμενος ἐν τῇ γαστρί σου, ἀλλὰ Θεὸς ἐνανθρωπήσας μεμένηκεν, ὁ μετὰ τόκον μητέρα παρθένον σε, ὡς πρὸ τοῦ τόκου φυλάξας πανάμωμον, μόνος Κύριος, αὐτὸν ἐκτενῶς ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

**Μετὰ τὸν πολυέλαιον, Κάθισμα, ἦχος, δ'.**
**Ἐπεφάνης σήμερον τῇ οἰκουμένῃ.**

Τὴν τιμίαν εὕρεσιν τοῦ σοῦ Λειψάνου, ἱερὲ Νεόφυτε, τιμῶμεν πάντες εὐλαβῶς, καὶ ἀγαλλόμενοι κράζομεν, χαίροις ἁπάντων Ὁσίων ὁμόσκηνε.

**Δόξα, καὶ νῦν, Θεοτόκιον.**

Τὴν θερμὴν ἀντίληψιν τῶν ἐν ἀνάγκαις, τὴν ἡμῶν βοήθειαν καὶ πρὸς Θεὸν καταλλαγὴν, δι' ἧς φθορᾶς ἐλυτρώθημεν, τὴν Θεοτόκον πιστοὶ μακαρίσωμεν.

Οἱ ἀναβαθμοί. Τὸ Εὐαγγέλιον, ὁ Ν'. Ὁ Κανὼν τῆς Θεοτόκου καὶ τοῦ Ὁσίου. Ὁ Κανὼν τοῦ Ὁσίου, οὗ ἀκροστιχίς.

Ψυχοφθόρου ῥῦσαί με παμμάκαρ λύπης.

Ψυχοφθόρου λύπης με ταῖς σαῖς, ῥῦσαι παρακλήσεσιν, ἐκδυσωπῶν τὸν ἀγαθὸν Θεὸν ἡμῶν, πένθος μοι χαρμόσυνον νῦν δωρήσασθαι καὶ τελείαν κατάνυξιν, ὅπως τὴν ἐκεῖθεν εὕροιμι παράκλησιν Νεόφυτε.

Ὑψωθεὶς ταῖς θείαις ἀρεταῖς, στύλος ἐχρημάτισας, ταῖς προσβολαῖς τοῦ δυσμενοῦς ἀκλόνητος, Θεόφρων Νεοφυτε, ἀλλὰ δέομαι πειρασμοῖς μὲ κυκλούμενον, σοῦ ταῖς μεσιτείαις, τήρησον παμμάκαρ ἀπερίτρεπτον.

Χερσωθεῖσαν πάτερ τὴν ἐμὴν πάθεσι διάνοιαν, ἀρδευτικαῖς εὐχῶν σου ἐπιδόσεσι, καρποφόρον τε καὶ μελλούσης με κοινωνὸν τρυφῆς δέομαι, δεῖξον ἐντρυφῶντα, πίστει τοῖς ἐπαίνοις σου Νεόφυτε.

**Θεοτόκιον**

Ὁ τὸ εἶναι πᾶσι παρασχὼν, ἔσχεν ὡς αἰτίαν σε, τῆς πρὸς ἡμᾶς Παρθένε ὁμοιώσεως, ὃν ἀπαύστως αἴτησαι, ἀνομίας με περιπίπτοντα πάθεσι, νῦν ἐξομοιῶσαι τοῖς μετανοοῦσιν ἀληθέστατα.

**Ὠδὴ, γ'. Ἐξήνθησεν ἡ ἔρημος.**

Φυτευθεὶς ὥσπερ δένδρον, κρυμνῷ ἀβάτῳ Ὅσιε, καρποὺς ὡραίους ἤνεγκας, ἐναρέτων καὶ Θείων πράξεων, εὐωδίαν θαυμάτων ἀναπέμποντας.

ΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑ

Θανάτωσον τὴν ζῶσάν μου, ἁμαρτίαν δέομαι, ταῖς προσευχαῖς Νεόφυτε ζωηφόροις, καὶ τῆς μελλούσης ζωῆς, κοινωνόν, δυσωπῶ σε Πάτερ ποίησον.

Ὁ κόσμον ταῖς φαιδρότησι, τῶν Θαυμάτων Ὅσιε, κατακοσμήσας κόσμῳ με, ἐναρέτων, κόσμησον πράξεων, ἐμπαθοῦς ἀκοσμίας ἐξαιρούμενος.

**Θεοτόκιον**

Ρυόμενος ἐπεφάνη, τοῖς ἀνθρώποις Πάναγνε, ἐκ σοῦ Χριστὸς ὁ Κύριος, ὃν δυσώπει πάσης με ρύσασθαι, χαλεπῆς ἁμαρτίας καὶ κολάσεως.

**Κάθισμα, ἦχος γ'. Ἡ παρθένος σήμερον.**

Ἡ σεπτή σου σήμερον, ἡμᾶς συνήθροισε μνήμη, ἐν τῇ θείᾳ λάρνακι, τῶν ἱερῶν σου Λειψάνων, πάντες οὖν οἱ προσιόντες καὶ προσκυνοῦντες, ἅπασαν δαιμόνων πλάνην ἀποσοβοῦνται, καὶ ποικίλων νοσημάτων λυτροῦνται, ἐν τάχει Μάκαρ Νεόφυτε.

**Δόξα, καὶ νῦν. Θεοτόκιον.**

Τὰς ἀχράντους χεῖράς σου Παρθενομήτωρ, ἐφαπλοῦσα σκέπασον τοὺς πεποιθότας, ἐπὶ σὲ, καὶ εὐσεβῶς ἀνακράζοντες, χαῖρε Παρθένε Χριστιανῶν τὸ καύχημα.

**Ὠδὴ, δ', Ἐλήλυθας ἐκ Παρθένου.**

Ὁρώμενος ἐκαρτέρεις ἐν σπηλαίῳ σαθρότατον, χειρῶν σου ἐπάρσεις τὰς ἐνέδρας τοῦ ὄφεως, κατεβάλου κραταιότατα, ἐν ταπεινώσῃ καρδίας ἀξιάγαστε.

Ὑπήνεγκας βαρυτάτου τε λίθου τὸν ὄλεθρον, διὸ με καυσούμενον, τῇ ἁμαρτίᾳ Νεόφυτε, θείαις ἐπομβρίσεσι, τῶν εὐπροσδέκτων εὐχῶν σου Πάτερ Ὅσιε.

Ραθύμως μου τὴν ζωὴν διανύοντα πρόθυμον, εὐχαῖς σου ἀπέργασον, Πάτερ ἀεὶ διεγείρων με, πᾶσαν πρὸς ἐκπλήρωσιν, τῶν θεϊκῶν προσταγμάτων ἱκετεύω σε.

**Θεοτόκιον**

Συνώθησε πρὸς παντοίαν ἐχθρὸς με παράβασιν, βοήθει μοι Δέσποινα καὶ τῆς αὐτοῦ με κακώσεως λύτρωσε πρὸς τρίβους με, δικαιοσύνης, ἐνθέως ἐμβιβάζοντα.

**Ὠδὴ, ε'. Μεσίτης Θεοῦ.**

Ἁγίου Ναὸς, Θεοφόρε Πνεύματος γενόμενος, λῃστῶν χρηματίσαντα, σπήλαιον δολίαις παραβάσεσι, τῆς Ἁγίας με οἶκον, Τριάδος Πάτερ ποίησον.

Ἱστᾷ κατ' ἐμοῦ, ὁ ἐχθρὸς παγίδας ἐνεδρεῦσαί με, δολίως βουλόμενος, τούτου μὲ τῆς βλάβης σῶον συντήρησον, ἱκεσίαις σου μάκαρ, ταῖς πρὸς τὸν κτίστην Ὅσιε.

Μυρίζει τὰ σά, Θεοφόρε Λείψανα, ὀσμὴ γὰρ ζωῆς πιστοῖς ἐχρημάτισας, ὅθεν δυσωπῶ σε τῆς καρδίας μου, τὰ δυσώδη τελείως παμμάκαρ πάθη μείωσον.



**Θεοτόκιον**

Ἐν ὥρᾳ φρικτῇ ὁπηνίκα μέλλω φόβῳ κρίνεσθαι, ὁ μόνος κατάκριτος, πρόστιθι καὶ ρῦσαί με κολάσεως, τὸν πολλὰ Θεοτόκε ἀφρόνως πλημμελήσαντα.

**Ὠδὴ, στ'. Ἐν ἀβύσσῳ πταισμάτων.**

Παντουργοῦ σθένει Πνεύματος, Ὅσιε, τὰ τῆς πονηρίας ὑπέταξας Πνεύματα, ὧν τῆς κακίας ρῦσαί με τὸν προστάτην σε μέγαν πλουτίσαντα.

Ἀκλόνητος ἱστάμενος Ὅσιε, ἅπαν τῶν δαιμόνων τὸ στῖφος ἐκλόνησας, ὑφ' ὧν με νῦν κλονούμενον, ἀπερίτρεπτον Πάτερ συντήρησον.

Κορυβάντων πληθὺν ἀπερράπισας, τῇ δεξιᾷ ἣν πιστῶς ἀσπαζόμενοι, χειρὶ καὶ νῦν σκεπόμεθα, τοῦ ἐν σοὶ κατοικήσαντος Πνεύματος.

**Θεοτόκιον**

Μητρικῇ παρρησίᾳ σου πάναγνε, πρέσβευε σωθῆναί με τὸν ἀπολλύμενον, ταῖς ἀθεμίτοις πράξεσι, καὶ ἀφρόνως Θεοῦ μακρυνόμενον.

**Κοντάκιον ἦχος, δ'. Ἐπεφάνης σήμερον**

Τοῦ τιμίου σκήνους σου νῦν τῇ εὑρέσει, Ἱερὲ Νεόφυτε, Κυπρίων δῆμός σοι σεπτὸς, κραυγάζει ἀγαλλιόμενος, χαίροις ἐγκλείστρας καὶ Κύπρου τὸ καύχημα.

**Ὁ Οἶκος**

Πεφυτευμένος ἐν αὐλαῖς παμμάκαρ τοῦ Κυρίου, ἐξήνθησας τοῖς πᾶσι, τὴν χάριν τῶν θαυμάτων, τοῖς πελάζουσι πιστῶς σου τῇ θείᾳ θήκῃ, καὶ ἐκ ταύτης δαψιλῶς λαμβάνουσιν ἰάματα· διὸ κἀμοῦ τὴν νόσον αἰτοῦντός σου παῦσον, καὶ τὸν πόνον ἀποδίωξον εὐχαῖς σου, καὶ ποίμνην δὲ σὴν ἐξ ἐναντίων καὶ παντοίων δυσχερῶν, ἀπήμονα ταύτην διαφύλαττε λιταῖς ταῖς πρὸς τὸ θεῖον, σὲ γὰρ εὐσεβῶς ὑμνοῦσα ἀνακραυγάζει, χαίροις ἐγκλείστρας καὶ Κύπρου τὸ καύχημα.

**Τῷ αὐτῷ Μηνὶ, κή. Ἡ εὕρεσις τοῦ Τιμίου Λειψάνου τοῦ Ὁσίου καὶ Θεοφόρου Πατρὸς ἡμῶν Νεοφύτου τοῦ Ἐγκλείστου.**

**Κινοῦσί σου Νεόφυτε πιστοὶ τὴν κόνιν.**
**Δηλοῦντες ὡς ζῇς ἐξ ἀμείβων καὶ τόπους.**
**Νεόφυτον ἀμφὶ εἰκοστῇ νεκρὸν ὀγδόῃ μετεθῆκαν.**

Ὁ ἀξιομίμητος βίος ἀδελφοί, καὶ ἡ θεάρεστος πολιτεία τῶν Θείων ἀνδρῶν, οἵτινες ἔλαμψαν δι' ἀσκήσεως εἰς τὴν κατόρθωσιν τῆς ἀρετῆς, κατὰ καιροὺς ἐν τῷ κόσμῳ οὐ μόνον πάλαι τοῖς εὐσεβέσιν, ὑπόδειγμα καθίστατο, ἀλλὰ καὶ κατὰ τοὺς παρόντας, ἐπειδὰν ἡ ἐνάρετος ζωὴ αὐτῶν, ἀναγινωσκομένη φανεροῦται καὶ κηρύττεται εἰς τὰς τῶν ὀρθοδόξων ὁμηγύρεις, οὐ μικρὰν τὴν μίμησιν προξενεῖ καὶ ὠφέλειαν εἰς τὰς αὐτῶν ψυχάς· καὶ γάρ, τί ἄλλο εὑρίσκομεν ἐνεργούμενον καθ' ὅλον τὸν δρόμον τῆς ἐνταῦθα διαγωγῆς τῶν Ἁγίων Πατέρων; εἰ μὴ νηστείας, χαμευνείας, καὶ ταλαιπωρίας τῆς σαρκός, ἃς ὑπέμενον ὑπὲρ τῆς Κυρίου ἀγάπης, στάσεις ὁλονυκτίους, ἀγρυπνίας ἀκαταπαύστους, ἐγκράτειαν, ταπείνωσιν, ἄμετρον, ἀγάπην ἀνυπόκριτον, καὶ δεήσεις πρὸς ἐξιλασμὸν τοῦ Θεοῦ, καὶ πρὸς ἀποφυγὴν τῆς ἁμαρ

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

τίας, καὶ ἀπόκτησιν τῆς ἀρετῆς. Τούτων γὰρ πᾶν κατόρθωμα ἀρετῆς, καίτοι ἐκπλήττει τινὰς πεπωρωμένας καρδίας, καὶ ὀκνηρὰς εἰς τὰ καλὰ ἔργα ὥστε ἀδυνάτως ἔχειν ἕνα τῶν μικροτέρων κατορθῶσαι, ἀλλά τὰς φιλοθέους ψυχὰς καὶ τὸν Θεὸν ἀγαπώσας ἀναγκάζει περισσότερον, καὶ ἐρεθίζει αὐτὰς πρὸς τὴν μίμησιν, καὶ ὡς μαγνήτης ἕλκει τὰς ἐναρέτους ψυχάς, εἰς τὴν διηνεκῆ ἐντήρησιν τῶν θείων ἐντολῶν, καὶ πρὸς ἀποφυγὴν παρακινεῖ τῶν τοῦ κόσμου ματαιοτήτων καὶ τῶν τοῦ διαβόλου παγίδων, καὶ τάχα ἂν τῶν τοιούτων ἀγαθῶν ὑστερούμεθα παραδειγμάτων τῶν ὁδηγούντων ἡμᾶς εἰς ὁδὸν σωτηριώδη τῶν ἡμετέρων ψυχῶν ὁποία τάχα εἶναι ἱκανὰ προτρέψαι εἰς τὴν ἀρετὴν, καὶ κωλῦσαι ἡμᾶς, ἀπὸ τῆς πράξεως τῶν κακῶν ἔργων, καὶ γὰρ ὁρῶμεν σαφέστατα, ὡς τοὺς εἰς Θεὸν εὐαρεστήσαντας, καὶ τῶν ἐντολῶν αὐτοῦ πληρωτὰς ἐν τῇ παρούσῃ ζωῇ ὀφθέντας, οὐ μόνον τῆς Οὐρανίου κατηξίωσε μακαριότητος, καὶ ἐν τῇ ἀνεκλαλήτῳ χαρᾷ τὰ πνεύματα αὐτῶν κατέταξεν, ἀλλὰ καὶ τὰ σώματα αὐτῶν ἐπὶγῆς ἐδόξασε, τῇ χάριτι καὶ ἐνεργείᾳ τῶν καθ᾽ ἑκάστην ἐκτελουμένων διὰ τῶν θείων αὐτῶν Λειψάνων, θαυμασίων τελεσιουργημάτων ἰδοὺ δὴ πρὸ ὀφθαλμῶν ἡμῶν τὸκάτοπτρον πασῶν τῶν ἀρετῶν, καὶ τῆς ἀσκήσεως τὸ ὑπόδειγμα, τὸν ἔγκλειστον Νεόφυτον, ὃς διὰ τὴν πρὸς Θεὸν ἣν εἶχεν ἀγάπην, καταλιπὼν πατρίδα, γονεῖς, καὶ πᾶσαν τοῦ κόσμου ἡδυπάθειαν, ἠκολούθησε τῷ Χριστῷ, καὶ πᾶσαν ἀρετὴν κατορθώσας ἠξιώθη τὰ νῦν τῆς θείας χάριτος, ὥστε ἐν γῇ τὸπάνσεπτον αὐτοῦ Λείψανον ὑπὸ τῶν εὐσεβῶν προσκυνεῖσθαι, καὶ ἰάσεις παρέχειν τοῖς μετὰ πίστεως αὐτὸ ἀσπαζομένοις, ὅπερ κεκρυμμένον ὄν, ἐπέκεινα τῶν 550 χρόνων ἤδη πεφανέρωται ἐν τῇ συστάσει ἐτὶ τῆςαὐτοῦ ζωῆς μονῇ ἐγκλείστρᾳ, καὶ ἐπονομασθείσῃ, διὰ τὸ ἐγκλείστως αὐτὸν πλείω τῶν πεντήκοντα χρόνων βαστᾶσαι ἐν τῷ πλησιοτάτῳ σπηλαίῳ, καὶ ἐν αὐτῷ τὸν τῆς ἀσκήσεως δρόμον διελθόντα· κατὰ γὰρ τὸ χιλιοστὸν ἑπτακοσιοστὸν πεντηκοστὸν ἔτος τῆς θείας σαρκώσεως, τὸν τῆς Ἁγιωτάτης Ἀρχιεπισκοπῆς Κύπρου Θρόνον, τοῦ Σοφωτάτου καὶ ἀοιδίμου Φιλοθέου, τοῦ ἐκ Σολέας, τῆς νήσου ταύτης κοσμοῦντος καὶ διέποντος, τὶς τῶν πατέρων τῆς μονῆς, ὡς λέγεται, πάθη φιλοχρηματείας νικώμενος καὶ ἐν τῇ ἀνωτέρᾳ λεγομένῃ ἐγκλείστρᾳ ἐλθὼν, ἔνθα τὸ σπήλαιον ἦν τὸ κατὰ τὸ μέσον τοῦ κρημνοῦ, ὅσπερ εἰς ναὸν ἐγκαινίσθη ὡς φησὶν ὁ ὅσιος ἐν τῇ αὐτοῦ διαθήκῃ, προ τοῦ οἰκοδομῆσαι τὴν κατωτέραν μονὴν, ἐπ᾽ ὀνόματι τιμώμενον τοῦ τιμίου Σταυροῦ, περιειργάζετο τὸ ἐνδότερον μέρος τοῦ σπηλαίου, ὁρῶν δέ τι κτίσμα (ὅπερ ἦν ὁ τάφος τοῦ ὁσίου) ἔγνω θησαυρὸν εἶνε ἐγκεκρυμμένον ἔνδον τοῦ κτίσματος, καὶ κατ᾽ ἐκείνην μὲν τὴν ὥραν κατελθὼν, ἐσκέπτετο καθ᾽ ἑαυτὸν, περὶ τῆς διορύξεως τοῦ μνημείου, ἕως οὗ τὸν καιρὸν εὗρεν ἁρμόδιον τῶν λοιπῶν Πατέρων, τινῶν μὲν διατριβόντων εἰς τὰς διακονίας τῆς μονῆς, τινῶν δὲ ἐν ἄλλοθι καταγινομένων, αὐτὸς ἐν καιρῷ νυκτὸς ἐλθὼν ἐν τῷ σπηλαίῳ διὰ σιδηρῶν ἐργαλείων, ἤρξατο κατασκάπτειν τὸν τάφον οὐδοπωσοῦν ἐννοῶν, ὡς ἐκεῖνο ὁ τάφος τοῦ ὁσίου ἦν, ὅστις ἐκ τῆς πολλῆς τοῦ χρόνου παριππεύσεως ἦν ἀγνοούμενος, ὡς εἰπεῖν, καὶ οὐ μόνον ἀμφίβολος, ἀλλὰ καὶ πάντῃ ἀδύνατον ἐδόκει εἶνε ἔτι τὸ τοῦ Ὁσίου Λείψανον ἐν αὐτῷ, ὡς ἐν τῇ ἁλώσει τῆς νήσου κρίμασιν οἷς οἶδε Κύριος ὑπὸ τῶν ἀγαρηνῶν, οἱ καλλοπισμοὶ αὐτῆς κατηναλώθησαν, φιλοχρηματίᾳ, καὶ οὗτοι

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ



νικώμενοι ἄλλως τε καὶ ὑπὸ μίσους, ὅπερ κατὰ τῶν Χριστιανῶν ἔφερον, καὶ κατὰ τῶν ἱερῶν αὐτοῖς σεβασμάτων, τάφους τε καὶ κτίσματα ἐξ ὁλοκλήρου κατέσκαψαν, καὶ ἠφάνισαν, ἐν ἐκείνοις τοῖς δυστυχεστάτοις καιραῖς, ἀλλ᾽ ἡ θεία δύναμις καλύψασα τοῦτον, ἀπὸ τῶν ὀφθαλμῶν, αὐτῶν, ἐφύλαξεν ἀνεπηρέαστον, ἀπὸ τῆς λυσσώδους ὀργῆς, τῶν ἀσεβῶν μὴ δυνάμενος δὲ ὁ μοναχὸς τὸν ἄνωθεν τοῦ τάφου λίθον, βαρύτατον ὄντα, καὶ ὑπερμεγέθη κινῆσαι πλήττων πολλάκις τῇ σκαπάνῃ, μετὰ μόχθου πολλοῦ συνθλᾷ αὐτὸν, καὶ συντρίβει κατὰ τὸ μέσον, πρὶν δὲ γνῶναί τι, ὅ,τι ἦν ἔνδον τοῦ συνθλασθέντος τούτου, ὑπὸ θείας δυνάμεως σκοτισθεὶς, ἴσως διὰ τὴν τόλμην αὐτοῦ πίπτει κατὰ γῆς ὡσεὶ νεκρὸς, οὐδόλως αἰσθανόμενος, οὐδ᾽ ἐν τοῖς ζῶσιν εἶνε λογιζόμενος, ὡς αὐτὸς παρρησίᾳ πολλοῖς ἔπειτα διηγήσατο· ἱκανῆς δὲ ὥρας παρελθούσης, συνελθὼν εἰς ἑαυτὸν, νυκτὸς οὔσης βαθείας, κατέβη τοῦ σπηλαίου μετὰ τρόμου, τὸ πρωῒ οὖν ἐξομολογήθη τῷ ἡγουμένῳ, ὅσα ἔπρυξε, καὶ διὰ ταῦτα ὅσα ἔπαθεν, ἕνεκα τοῦ τολμήματος τῇ νυκτὶ ἐκείνῃ· ὅθεν ἐλθὼν ὁ ἡγούμενος μετὰ τῶν Πατέρων, ἐν τῷ διωρυχθέντι τάφῳ, εὑρίσκει ἔνδον τοῦ τάφου θήκην ἐκ ξύλων, ἄσηπτον ἔτι καὶ ἀβλαβῆ, εἰς μῆκος ἀνθρώπου, ἣν καὶ ἀνεώξας (ὢς θαυμαστὸς ὁ Θεὸς) ὁρᾷ τοῦ Ὁσίου Λείψανον, ἔτι μετὰ τῆς ἐπιδερμίδος, περιεζωσμένον μετὰ ἁλύσεων, ὧν ἔφερε κατάσαρκα ὁ μακάριος ἐπὶ ζωῆς, τῶν ρακίων ἐνταφίων μόνον φθαρέντων, εὐωδίαν ἄρρητον ἀναπέμπον, καὶ δὴ εὐθέως ἀποστείλας, ἀνήγγειλε τῷ προειρημένῳ Ἀρχιεπισκόπῳ, τὴν εὕρεσιν τοῦ Θείου Λειψάνου (ἥτις συνέβη κατὰ τὴν εἰκοστὴν ὀγδόην τοῦ Σεπτεμβρίου μηνὸς) οὗτινος τῇ προτροπῇ ἀπεστάλη ὁ ἐν μακαρίᾳ τῇ λήξει γεγονὼς, Ἱεροκῆρυξ Ἐφραίμ, ἐν Κύπρῳ τότε, πρὸ τῆς Πατριαρχεύσεως αὐτοῦ ἐν Ἱερουσαλὴμ, τὸ τῆς διδασκαλίας ἐπάγγελμα, εὐαγγελικῶς τε καὶ εὐκλεῶς ἐκπληρῶν, μετὰ τοῦ τότε μὲν Ἀρχιμανδρίτου Κυρίου Παϊσίου, ἡμετέρου γέροντος καὶ συμπατριώτου, διαδόχου δε, ἔπειτα τοῦ Κυρίου Φιλοθέου, σὺν οἷς ἐκ θείας τινὸς μοίρας καὶ ὁ ταπεινὸς συγγραφεὺς, συνοδίτης γενόμενος, ἠξιώθη προσκυνῆσαι τὸν ὄντος ἀληθῆ τοῦτον νέον θησαυρὸν, ἔτι ἄψαυστον ὄντα ὅπερ μετὰ λιτανειῶν καὶ δεήσεων, ἀπὸ τῆς θήκης μεταθέσαντες εὐλαβῶς, ἔν τινι κιβωτίῳ ἄρτι κατασκευασθέντι, ἠσφαλίσαντο κατασφραγίσαντες αὐτὸ, ἵνα μὴ ὑπὸ εὐλαβειας, τοῖς πολλοῖς γένηται διανομὴ, καὶ καταγαγόντες ἀπὸ τοῦ σπηλαίου ἔθεσαν ἐντίμως ἐν τῇ κατωτέρᾳ μονῇ ἐγκλείστρᾳ, φυλαττόμενον μέχρι τῆς σήμερον ἀσφαλῶς, καὶ μετ᾽ εὐλαβείας ὑπὸ τῶν ἐν αὐτῇ Πατέρων· πᾶσι δὲ τοῖς μετὰ πίστεως πλησιάζουσι τῇ θείᾳ ταύτῃ σορῷ, ἀναμφιβόλως παρέχεται θεραπεία νοσημάτων ἀνιάτων, καθὼς καὶ τινες ἐκ διαφόρων παθῶν ἀπηλλάγησαν, τῷ ἁγιασμῷ καὶ τῇ ἐπικλήσει τοῦ θείου αὐτοῦ ὀνόματος· οὕτω γὰρ δοξάζει Θεὸς τοὺς αὐτὸν ἀντιδοξάζοντας, καὶ ἀποδίδει τὸν μισθὸν τῶν θεραπόντων αὐτοῦ ἑκατονταπλασίονα χρέος οὖν ἔχομεν, οὐχ ὡς μόνον τῷ Θεῷ δουλεύσαντα καὶ χαρίτων παρ᾽ αὐτοῦ ἀξιωθέντα τὴν μνήμην αὐτοῦ ἑορτάζειν, ἀλλὰ καὶ ὡς καύχημα τῆς ἡμετέρας πατρίδος, καὶ ἐν αὐτῇ τὸν ἀγῶνα τῆς ἀσκήσεως διανύσαντα, πανηγυρίζειν τὴν ἀνακομιδὴν αὐτοῦ ὀφείλομεν, καὶ ἀργίαν ἐπιτελεῖν κατὰ τὴν ἡμέραν τῆς αὐτοῦ εὑρέσεως· ἰδοὺ λοιπὸν ὦ φιλέορτοι ἀκροαταὶ ὁποῖον τὸ τέλος καὶ ὁ καρπὸς τοῖς Θεῷ εὐαρέ-

στως δουλεύσασι, ἐν ταύτῃ τῇ πολυκυμάντῳ καὶ ματαίᾳ ζωῇ. οἵτινες γνόντες τοῦ Κόσμου τὸ ἄστατον, τοῦ βίου τὸ πλῆρες φροντίδων καὶ θορύβων καὶ μόνον τὸ ἄκρον ἐφετὸν, καὶ αἰώνιον ποθήσαντες τὸν Θεὸν, ἀπέλαβον τὴν αἰώνιον μακαριότητα, ὅθεν ἡμεῖς ἔχοντες τὴν ζωὴν αὐτῶν παράδειγμα, μὴ γενόμεθα τοσοῦτον ἀμελεῖς καὶ ῥάθυμοι εἰς τὴν ἐργασίαν τῶν θείων ἐντολῶν καὶ ἐν προφάσει κακίας λέγομεν ὡς ἀδύνατόν ἐστι τούτους μιμηθῆναι τανῦν, οὐ γὰρ δεῖ πάντας ἀσκητὰς καὶ μάρτυρας γενέσθαι, οὐδὲ ὁ πανοικτίρμων Θεὸς ἐξ ἑκάστου ζητεῖ δι' ἀσκήσεως τελειωθῆναι ἢ διὰ μαρτυρίου καὶ οὕτως τὴν ἄνω μακαριότητα χαρίσοιται, μὴ γένοιτο, ἀλλὰ μιμησώμεθα αὐτοὺς εἰς τὴν ἀπὸ τῆς ἁμαρτίας ἀποφυγὴν, κατὰ τὴν ὑπομονὴν εἰς τὰς θλίψεις τοῦ παρόντος Κόσμου, εἰς τὴν τοῦ πλησίον ἀγάπην κατὰ τὸν ἔλεον, τελευταῖον ζηλώσωμεν αὐτοὺς κατὰ τὸν Θεῖον φόβον, ὃν εἶχον ἀεννάως πρὸς τὸν Θεὸν, τοῦτον καὶ γὰρ ἕκαστος ἔχοντες ἐν τῇ καρδίᾳ ἀναμφιβόλως βαδίζειν ἔξομεν ὀρθῶς, πρὸς τὰ ἴχνη τῶν δικαίων καὶ ὁσίων, καὶ τῆς τῶν οὐρανίων ἀγαθῶν ἀπολαύσεως τύχομεν· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, διὰ Πρεσβειῶν τοῦ Θείου Πατρὸς ἡμῶν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ πρέπει δόξα κα μεγαλοπρέπεια, εἰς τοὺς αἰῶνας. Ἀμήν.

**Ὠδὴ, ζ'. Ἀντίθεον πρόσταγμα.**

Ἁγίως τὸν βίον σου διατελέσας, ἁγίων λαμπρότησι, παμμάκαρ κατεσκήνωσας· διὸ καθαγίασον, τὴν ταπεινήν μου ψυχὴν, πάθεσιν ὑπάρχουσαν πολλοῖς, ἐναγεστάτης καὶ κινδυνεύουσαν.

Κρημνῷ ἐγκαρτερήσας, ἔνδοθεν ἄντρου ἐν ἔτεσι πλείοσιν εὐχόμενος Νεόφυτε, διὸ με πηγνύμενον ταῖς παραβάσεσι, θέρμῃ ταῖς πρεσβείαις σου βολῶν, παμμάκαρ θάλψον καὶ περιποίησον.

Αἱ σὲ πρὸς τὸν Κύριον, Θεῖαι πορεῖαι ἐν Πνεύματι Ὅσιε, ἀεὶ κατευθυνόμεναι, ὁδὸς ἐχρημάτισεν πρὸς σωτηρίαν πολλοῖς, ἐνατομιῦσαι ἐχθρὸν, τῆς ψυχοφθόρου πορείας χάριτι.

**Θεοτόκιον**

Ῥομφαία με Πάναγνε, τῆς ἁμαρτίας πληγέντα, ἰάτρευσόν τῇ λόγχῃ καὶ τῷ αἵματι, Χριστοῦ τοῦ σκηνώσαντος ἐν ταῖς λαγόσι σου, καὶ τὴν ἀπολύτρωσιν βροτῶν, ἐργασαμένου δι' ἀγαθότητα.

**Ὠδὴ, ή. Τὸν ἐν καμίνῳ τοῦ πυρὸς.**

Λῦσον δεσμῶν με πονηρῶν, ὁ δεσμεύσας τὸν ἐχθρὸν δεσμοῖς ἀλύτοις, τῶν μεγίστων συν πόνων, καὶ βηματίζειν ὀρθῶς, ταῖς τρίβοις Πάτερ κατευόδωσον, τοῦ ἐπιφανέντος εἰς πάντων σωτηρίαν.

Ὕψωσόν σου τὴν δεξιάν, καὶ δίδου χεῖρα βοηθείας κειμένους, βόθρῳ παντοίων κακῶν, θεράπων νῦν Νεόφυτε, τῆς πρὸς σὲ καρδίας, ἐκτείνουσι καὶ χεῖρα.

Ἡ ὑπερούσιος Μονὰς χαρακτῆρσιν ἐν τρισὶ διαιρουμένη, ἀδιαίρετος μένει Πατὴρ γὰρ Υἱὸς ἐστι, καὶ Πνεῦμα Ἅγιον τὸ σύνθρονον, μία βασιλεία καὶ Φύσις, καὶ οὐσία.



**Θεοτόκιον**

Σοῦ τὴν νηδὺν καθυποδὺς, ὁ καθήμενος Ἁγνὴ κόλποις πατρῴοις, καὶ κρατῶν πᾶσαν κτίσιν, χερσὶ κρατεῖται ταῖς σαῖς· ἐξαίρων χειρὸς τὸ ἀνθρώπινον, τοῦ ἀνθρωποκτόνου καὶ πονηροῦ βελίαρ.

**Ὠδὴ, θ'. Ἀνάρχου γεννήτορος.**

Ἰδεῖν κατηξίωσαι, ἀπολυθεὶς τοῦ σώματος, ὀφθαλμὸς ἃ οὐκ εἶδε, οὖς τε οὐκ ἤκουσε, τούτου γὰρ τῷ ἔρωτι Πάτερ περισχεθεὶς, χαίρων τοὺς μεγίστους, πόνους ἐκαρτέρησας, πλείστοις ἔτεσι Νεόφυτε.

Ὠράθης ἐν ἔτεσιν, ἐν ἄντρῳ διαιτώμενος, ἔνθα πάθη καθεῖλες σάρκα ἐνέκρωσας ὅθεν ἱκετεύω σε Πάτερ τὰ πονηρὰ καὶ χρόνια πάθη ψυχῆς μου ἐξάλειψον, ταῖς πρὸς Κύριον πρεσβείαις σου.

Στενὴν τεθλιμμένην τε ὁδεύσας τρίβον ὅσιε, παραδείσου πρὸς πλάτος χαίρων κατήντησας τῆς στενοχωρούσης με λύπης, ὅθεν βοῶ, λύτρωσον παμμάκαρ, πλάτυνον ἐν θλίψει με, τὸν πιστῶς σε λιτανεύοντα.

**Θεοτόκιον**

Φιλάγαθε Δέσποινα, κεκακωμένην πάθεσι, τὴν ἀθλίαν ψυχήν μου ὅλην ἀγάθυνον, ἡ τὸν ἀγαθὸν τετοκυῖα καὶ θελητήν, ὄντα τοῦ ἐλέους, καὶ σῶσόν με δέομαι, ἐκτενῶς σε μεγαλύνοντα.

**Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.**

Ἀγῶνας ὑπὲρ ἄνθρωπον, μετῆλθες Πάτερ Ὅσιε, τῇ τοῦ Χριστοῦ δυναστείᾳ ἔτεσι πλείστοις ἐν σπηλαίῳ ἔνδοθεν διαιτώμενος, λιμῷ καὶ δίψει πιέζων, καὶ νῦν τὸ ἔσχατον μάκαρ, τῶν ὀρεκτῶν πάτερ εὗρες.

**Ἕτερον**

Τοὺς πόθῳ ἑορτάζοντας, νῦν τὴν φαιδρὰν ἐπάνοδον τοῦ σοῦ τιμίου λειψάνου, Νεόφυτε Θεοφόρε, λύτρωσαι πάσης θλίψεως καὶ βλάβης τοῦ ἀλάστορος, καὶ δυσχερῶν ἀπάλλαξον κακώσεως, καὶ κινδύνων, καὶ πτώσεως ψυχοφθόρου.

**Θεοτόκιον**

Ἀρρήτως ἀπεκύησας Θεὸν τὸν ὑπερούσιον, καὶ θαῦμα ὄντως φρικῶδες πῶς μετὰ τόκον Παρθένος, παναληθῶς διέμεινας, ὡς ἧς πρὸ τόκου ἄφθορος, διὸ κυρίως ἄχραντε, σὲ Θεοτόκον φρονοῦμεν οἱ διὰ σοῦ σεσωσμένοι.

**Εἰς τοὺς Αἴνους, Στιχηρὰ προσόμοια, ἦχος ά.**

**Τῶν Οὐρανίων ταγμάτων τὸ ἀγαλλίαμα.**

Κύπρος Χριστοῦ εὐωδία τέρπου καὶ νῦν τῇ σορῷ, τοῦ Θείου Νεοφύτου ὡς τῷ μύστῃ Βαρνάβα, Σπυρίδωνι τῷ πράῳ, καὶ τοῖς κλεινοῖς Ἡρακλειδίῳ, καὶ Μνάσωνι, Ἐπιφανίῳ, Ἐλεήμονι, τὰ τερπνὰ ῥόδα γὰρ ἐκ σοῦ ἐξήνθησαν.

Ἰάσεων ὧν πηγάζει, ἐξ ἀκενώτου πηγῆς, σὴ πλουτισθεῖσα λάρναξ τοῖς θερμῶς προσιοῦσι, δωρεῖται τὰς αἰτήσεις, ἀλλὰ καὶ ἡμᾶς, τοὺς τὴν ἐπάνοδον ψάλλοντας, μὴ διαλείπῃς τῆς ἄγαρ τῶν ἀλγεινῶν ἐξαιρούμενος πρεσβείᾳ θερμῇ.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Νόσων παντοίων μὲ ἐφρούρει καὶ ψυχοφθόρων παθῶν, λιταῖς σου πρὸς τὸν κτίστην καὶ Μητρὸς τῆς Πανάγνου, ῥῶσιν δὲ τοῦ πράττειν τὸ ἀγαθὸν τοῦ Κυρίου καὶ τέλειον, καὶ ἐπαξίως ὑμνεῖν σου δὸς τὴν σορὸν, καὶ ἐν ὥρᾳ δίκης πρόστιθι.

Τὴν σὴν πανέντιμον κάραν κατασπαζόμεθα, ἣν ὁ Χριστὸς ἀμείβων θαυμαστῇ εὐωδίᾳ πεπλήρωκε δεικνύων ἡμῖν τοῖς πιστοῖς, ὡς τοὺς εὐαρεστήσαντας, αὐτοῦ τῷ φόβῳ δοξάζει, κἂν ἐν τῇ γῇ ὢν δυσώπει τοῦ σωθῆναι ἡμᾶς.

**Δόξα. Ἦχος, πλ. δ'. Κυπριανοῦ.**

Πιστῶς πανηγυρίσωμεν τῶν χριστωνύμων οἱ φιλέορτοι δῆμοι, ᾄσμασιν, ὡς ἄνθεσι, πνευματικοῖς τὴν θαυμαστοβλύζουσαν μυροθήκην τῶν Λειψάνων τοῦ Θείου Πατρὸς καταστέψωμεν, οὗτος γὰρ ὁ πολύχους ἐν ἀρεταῖς ἀπὸ ὀρέων λευκοθέων, κλάδος ἀναβλαστήσας εὐθαλής, ἐν τῇ τῆς ἐγκλείστρας ὑπωρείᾳ, τὴν ψυχὴν ἐνεκεντρίσθη τῷ ἔρωτι τοῦ ἀκροτάτου τῶν ἐφετῶν, καὶ ὡς ἀπὸ καλλιελαίου ἐν καιρῷ, τοὺς ἐκ τῆς ὑπομονῆς καὶ ἀσκήσεως καρπούς, τῶν ἐνθέων κατορθωμάτων ἀποφέρων τῇ Οὐρανίῳ ἀποθήκῃ τῶν δικαίων συγκομίσας ἀπέθετο· ὁ δὲ τῶν ἀγαθῶν ταμιοῦχος, ἀντικαταρδεύων ταῖς οὐρανίαις τῶν χαρίτων ἐπιρροαῖς, τὰ τοὺς καρποὺς ἀποφέροντα στελέχη, Θεῖα Λείψανα τῇ τῶν θαυμάτων ἀντιδόσει ἀφθόνως ἐπλούτισε· οὕτω γὰρ ὁ Οὐράνιος γεωργὸς τοῖς ἐναρέτως παγκαρποῦσι τῷ θελήματι αὐτοῦ, δικαίως ἀντιπαρέχει τὰς ἀμειβὰς ἀλλ' ὦ Πατέρων ἀγλάϊσμα, καὶ τῆς ἀσκήσεως ὁ Κανὼν τῇ εὐπροσδέκτῳ σου πρὸς Θεὸν ἱκεσίᾳ, τὴν σὲ γεραίρουσαν πιστῶς, καὶ λαμπρῶς ἐγκαυχωμένην νῆσον πᾶσαν, σὺν τῇ μονῇ διάσωζε ἀλώβητον, ἁπάσης ἐπηρείας ἐπερχομένης διὰ τὰς ἁμαρτίας ἡμῶν, λιμοῦ, λοιμοῦ τε καὶ σεισμοῦ τῇ μεσιτείᾳ σου ἐλευθέρωσον, ἡμῖν δὲ τοῖς ὑμνοῦσί σου τὴν πάντιμον τοῦ Λειψάνου σου μνήμην, ἀπαλλαγὴν δώρησαι ψυχικῶν τε καὶ σωματικῶν νοσημάτων, πρεσβεύων ἀεὶ ὑπὲρ εἰρήνης τοῦ ὀρθοδόξου συστήματος καὶ σωτηρίας τῶν τιμώντων σε.

***Καὶ νῦν. Δέσποινα πρόσδεξαι.***

***Δοξολογία μεγάλη καὶ Ἀπόλυσις. Εἰς τὴν Λειτουργίαν τυπικὰ, καὶ ἐκ τοῦ Κανόνος τοῦ Ὁσίου. Ὠδὴ, γ'. καὶ στ'. Ὁ Ἀπόστολος, πρὸς Γαλάτας Ἀδελφοὶ ὁ καρπὸς τοῦ πνεύματος. Εὐαγγέλιον κατὰ Ματθαῖον. Εἶπεν ὁ Κύριος πάντα μοὶ παρεδόθη. Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον.***

*Τροπάριον ψαλλόμενον εἰς τὴν τιμιωτέραν.*

Τὸν Σταυρὸν ἐπ' ὤμων ἄρας σοφὲ καὶ τῷ διδασκάλῳ, ἠκολούθησας ἀληθῶς, νεκρώσας τὴν σάρκα καὶ ζωώσας τὸ πνεῦμα, Νεόφυτε, τρισμάκαρ σκέπε τὴν ποίμνην σου.



ΙΣΟΝ ΑΠΑΡΑΛΛΑΚΤΟΝ ΤΟΥ ΣΥΓΓΙΛΙΩΔΟΥΣ ΠΑΤΡΙΑΡΧΙΚΟΥ ΓΡΑΜΜΑΤΟΣ, ΩΣ Η ΤΗΣ ΕΓΚΛΕΙΣΤΡΑΣ ΒΑΣΙΛΙΚΗ ΜΟΝΗ, ΣΤΑΥΡΟΠΗΓΙΑΚΗ ΑΞΙΑ ΤΕΤΙΜΗΤΑΙ

# ΚΥΡΙΛΛΟΣ

ΕΛΕΩ ΘΕΩ ΑΡΧΙΕΠΙΣΚΟΠΟΣ

**ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ.**

**ΝΕΑΣ ΡΩΜΗΣ**

ΚΑΙ ΟΙΚΟΥΜΕΝΙΚΟΣ ΠΑΤΡΙΑΡΧΗΣ

Χρέος μὲν ἑκάστῳ κατὰ καιρὸν εὐγνωμόνως ἀποτιννύειν ἐστὶ τὰ ὀφειλόμενα, ἡμῖν δὲ τοῖς τὸν κοινὸν ὅση περίεστι δύναμις μιμουμένοις Δεσπότην, ἀπαραίτητον χρέος ἁπάσαις ταῖς ὁποιασοῦν ἀντιλήψεως χρηζούσαις ἑκασταχοῦ Ἐκκλησίαις φαίνεσθαι θερμοὺς ἀντιλήπτορας, ὑπερμάχους τε καὶ συμπράκτορας. Ἐπειδὴ καὶ ἡ κατὰ Κύπρον Ἐκκλησία πρὸ χρόνων ἤδη περίπου τῶν εἴκοσι, ἐπωφελὲς ἐπιγνοῦσα τὴν σεβασμίαν, βασιλικήν τε καὶ Ἁγίαν μονὴν, Ἐγκλείστραν λεγομένην, διὰ τὸν Ἔγκλειστον αὐτὴν οἰκεῖν ποτε, τὸν ἐπ' ἀρετῇ διαλάμψαντα Ὅσιον Νεόφυτον, εἰς ὄνομα τιμωμένην τῆς Παναχράντου Δεσποίνης ἡμῶν Θεοτόκου, καὶ Ἀειπαρθένου Μαρίας, τὴν ὑπὸ τοῦ πάλαι ἀοιδίμου καὶ εὐσεβοῦς Βασιλέως, Ἰσαακίου τοῦ Κομνηνοῦ κτισθεῖσαν, γενέσθαι σταυροπήγιον, ἀπεφήνατο καὶ ψήφῳ συνοδικῇ συναινέσει καὶ τοῦ τότε καιροῦ Θεοφιλεστάτου καὶ Γνησίου Ἐπισκόπου τῆς Πάφου Κυρίου Λεοντίου, ἐλευθέραν εἶναι ἀδούλωτον, ἀκαταζήτητον, καὶ ἀκαταπάτητον παρὰ παντὸς Ἐπισκόπου Πάφου καὶ ἠσφαλίσατο ταῦτα πάντα διὰ γραμμάτων συγγελιωδῶν· διὰ δὲ τὸ τοῦ καιροῦ ἀνώμαλον, καὶ τὰ πολλὰ ὑπὸ τῶν κρατούντων ἐπισυμβάντα ἐναντία τῇ βασιλικῇ ταύτῃ μονῇ καὶ διὰ τὸ ἀπεμπωληθῆναι ταύτην, οὐχ ἅπαξ, ἀλλὰ δὶς καὶ πολλάκις καὶ ἐρημωθῆναι καὶ ἀπωλεσθῆναι πάντα τὰ ἐν αὐτῇ καὶ τὰ περὶ αὐτὴν κινητὰ καὶ ἀκίνητα τῶν πραγμάτων, καὶ ἀργυρὰ σκεύη καὶ ἄμφια, ὧν τὰ μὲν προσηλώσαντο τῇ μονῇ ταύτῃ οἱ κατὰ καιροὺς τῆς περιφήμου νήσου ταύτης κρατήσαντες τὰ δὲ οἱ ἄρχοντες τοῦ τόπου, εἰς μνημόσυνον αὐτῶν. Ἀπώλετο δε καὶ τὰ γράμματα μηδενὸς τῶν Μοναχῶν οἷον εἰπεῖν, αὐτὴν οἰκοῦντος. Ὁ δὴ παρὼν Ὁσιώτατος ἐν Ἱερομονάχοις, καὶ Πνευματικοῖς Κύριος Λεόντιος ὁ τανῦν Καθηγούμενος τῆς μονῆς ταύτης, οἷον ἀντιλήπτωρ φανείς, καὶ τὰ μνημόσυνα τῶν πάλαι κτητόρων ἐπιλησθῆναι μὴ βουλόμενος, ἄλλας τε πολλὰς αἰτίας εὐλόγους εἰς νοῦν θέμενος, οὐ μικρόν τε καὶ τῇ παρακλήσει τοῦ Μακαριωτάτου Ἀρχιεπισκόπου τῆς Νήσου ταύτης Κυρίου Χριστοδούλου καμφθείς, τοῦ ἐν Ἁγίῳ Πνεύματι ἀγαπητοῦ ἀδελφοῦ, καὶ συλλειτουργοῦ τῆς ἡμῶν μετριότητος, προσέτι δὲ καὶ τῶν ἐντιμοτάτων κληρικῶν, καὶ εὐγενεστάτων ἀρχόντων, ἐπελάβετο αὐτήν· καὶ τῇ αὐτοῦ ἐπιμόνῳ σπουδῇ καὶ ἐπιμελείᾳ σχεδὸν εἰπεῖν, ἤγαγεν εἰς τὴν πρώτην κατάστασιν, καὶ τιμὴν, Μοναχοὺς συνάξας, καὶ ἀδελφότητα καταστήσας ἐνάρετον, καὶ θεοφιλῆ καὶ παρ' ἡμῖν γοῦν ἐλθόντι τῷ Ὁσιωτάτῳ ἐν Ἱερομονάχοις καὶ Πνευματικοῖς Κυρίῳ Λεοντίῳ, καὶ παραστάντι συνοδικῶς, καὶ ὡς θερμότατα δεηθέντι τυχεῖν καὶ

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

γράμματος ἡμετέρου συγγελιώδους, ἀσφαλίζοντος καὶ ἐπιβεβαιοῦντος ἅπαντα τὰ περὶ τῆς αὐτῆς βασιλικῆς 'Αγίας καὶ σταυροπηγιακῆς μονῆς τῷ 'Αρχιεπισκόπῳ Κύπρου πραχθέντα καὶ νομοθετηθέντα, ἡ μετριότης ἡμῶν τὴν αἴτησιν αὐτοῦ μὴ παριδοῦσα ὡς εὔλογον ἐνεχείρησε τὸ παρόν. 'Αποφαινόμεθα τοίνυν συνοδικῶς ἐν Πνεύματι 'Αγίῳ, γνώμῃ καὶ τῶν παρατυχόντων 'Ιερωτάτων Μητροπολιτῶν, τῶν ὑπερτίμων, τῶν ἐν 'Αγίῳ Πνεύματι ἀγαπητῶν ἀδελφῶν, καὶ συλλειτουργῶν αὐτῆς, ἵνα ἡ βασιλικὴ αὕτη μονὴ καὶ σταυροπηγιακὴ τῆς ἐγκλείστρας, ἅτε καλῶς καὶ νομίμως ὑπό τοῦ κατὰ τόπον 'Αρχιεπισκόπου Κύπρου, καὶ νέας 'Ιουστινιανῆς ἀποκαταστᾶσα, καὶ ὀνομασθεῖσα σταυροπήγιον, εἴη, καὶ διαμένη εἰς τὴν σταυροπηγιακὴν αὐτὴν τάξιν, ἀπὸ τοῦ νῦν καὶ εἰς τὸν ἑξῆς ἅπαντα αἰῶνα· οἱ δὲ ἐν αὐτῇ εὑρισκόμενοι Πατέρες, 'Ιερομόναχοι καὶ Μοναχοί, ὦσιν ἀνενόχλητοι, ἀδούλωτοι καὶ ἀζήμιοι μηδενί, μηδὲν ὀφείλοντες, ἢ τοῦ κατὰ καιροὺς 'Αρχιεπισκόπου Κύπρου, καὶ νέας 'Ιουστιανιανῆς μνημονεύειν ὀνόματος, καθ' ἑσπέραν τε καὶ ὄρθρον, καὶ ἐν ταῖς ἱεραῖς τελεταῖς· διάγοντες ἔτι πρὸς τούτοις καὶ βίον κοινοβιακόν, ἔν τε τροφαῖς, ὑποδήμασι καὶ ἐνδύμασι, καὶ τοῖς λοιποῖς πᾶσι, καθὰ ὁ κοινοβιακὸς βίος τῶν Μοναχῶν ἀπαιτεῖ, τοὺς τοιούτους ζῆν ἐν Χριστῷ, κατὰ πάντα τοῖς ἐκείνου ἑπομένοις ἴχνεσι, φροντίζοντας ἑκάστοτε τὸ τῆς κοινότητος συμφέρον, ὡς μίαν ψυχὴν ἐν πολλοῖς σώμασιν οὖσαν. Τὰς δὲ χειροτονίας αὐτῶν 'Ιεροδιακόνων τε καὶ 'Ιερομονάχων γίγνεσθαι ὑπὸ τοῦ κατὰ καιρὸν 'Αρχιεπισκόπου Κύπρου, ὁμοίως καὶ τὸν ἡγούμενον αὐτῶν ἐκλέγεσθαι ὑπὸ τῆς ὁμηγύρεως καὶ κοινότητος τῶν ἐν τῇ βασιλικῇ, ὁμοῦ τε καὶ σταυροπηγιακῇ μονῇ· ὅστις δὲ τῶν κατὰ καιροὺς 'Επισκόπων τῆς Πάφου βουληθείη ἀθετῆσαι τὸ συγγελιῶδες τοῦτο γράμμα τῆς ἡμῶν μετριότητος καὶ καταπατῆσαι τὴν αὐτὴν 'Αγίαν Μονήν, καὶ ἐνοχλῆσαι τὸν Καθηγούμενον, καὶ τοὺς περὶ αὐτὸν πατέρας, καὶ ζητῆσαι λαβεῖν τι παρ' αὐτῶν, πολὺ ἢ ὀλίγον, τῇ τῶν ἔξω δυναστείᾳ ἐπικρατυνόμενος, ἢ ἄλλος τις τῶν λαϊκῶν καὶ κληρικῶν, ὁ τοιοῦτος μὲν οὐ μόνον ἀργὸς τῆς ἀρχιερωσύνης αὐτοῦ, ἀλλὰ καὶ ἀφωρισμένος ὡς ἱερόσυλος, καὶ καθαιρέσεως ἄξιος, εἰδέτις ὡς εἴρηται τοῦ κλήρου, καὶ τῆς τάξεως τῶν ἀρχόντων, ἀφωρισμένος παρὰ Θεοῦ παντοκράτορος, καὶ κατηραμένος καὶ ἀσυγχώρητος, καὶ ἄλυτος μετὰ θάνατον, οἱ κόποι αὐτοῦ καὶ τὰ ὑπάρχοντα εἴησαν κατηραμένα καὶ πυρίκαυστα, καὶ προκοπὴν οὐ μὴ ἴδοι, ἕως οὗ ἐμμένει τῇ ἐκεῖ τῇδε συγγιλλιώδους γράμματος ἀποφάσε. Προσέτι δὲ διορίζομεν ἀποφαινόμενοι ἵνα ὁ παρὼν καθηγούμενος Κύριος Λεόντιος, καὶ οἱ μετ' αὐτόν, ὦσι προτιμώμενοι καὶ προκαθεζόμενοι πάντων τῶν ἡγουμένων, τῶν ἐν τῇ Κύπρῳ οἰκούντων καὶ ἀναθεωροῦντες ὅσα ἐπισυμβαίνουσι πράγματα τοῖς λοιποῖς Μοναστηρίοις, καθὰ τὸ συνοδικὸν γράμμα τοῦ 'Αρχιεπισκόπου περὶ τούτου δηλο ἐπὶ γὰρ πᾶσι τούτοις γέγραπται καὶ τὸ παρὸν τῆς ἡμῶν μετριότητος συγγελλιῶδες γράμμα, εἰς διηνεκῆ τὴν ἀσφάλειαν.

'Εν ἔτει Σωτηρίῳ, αχλά (1631.)

ΚΥΡΙΛΛΟΣ ΕΛΕΩ ΘΕΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΣ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ ΝΕΑΣ ΡΩΜΗΣ, ΚΑΙ ΟΙΚΟΥΜΕΝΙΚΟΣ ΠΑΤΡΙΑΡΧΗΣ

ΧΡΙΣΤΟΔΟΥΛΟΣ ΕΛΕΩ ΘΕΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΣ ΚΥΠΡΟΥ, ΚΑΙ ΝΕΑΣ ΙΟΥΣΤΙΝΙΑΝΗΣ.

| | |
|---|---|
| 'Ο 'Ηρακλείας Νεόφυτος. | 'Ο Δρύστρας Γρηγόριος. |
| 'Ο Κυζίκου Δαμιανός. | 'Ο Διδυμοτοίχου Μακάριος. |
| 'Ο 'Αδριανουπόλεως Παρθένιος. | 'Ο Γάννου καὶ Χώρας 'Ιωαννίκιος |
| 'Ο 'Ιωαννίνων 'Ιωαννίκιος. | 'Ο 'Ελασσῶνος 'Ιωάσαφ |
| 'Ο Πάφου Μακάριος. | 'Ο Πάφου Γερμανός |